# Eulogikon

Ancient Greek Texts — Free & Open source

eul_wid: mlw-av

*Ἀριστοφάνους Σχόλια* · Aristophanes Scholia

# Scholia-Peace

*Σχόλια εἰς Εἰρήνην*

**Period:** *Ἑλληνιστική* Hellenistic
**Dialect:** *Κοινὴ τεχνική* Technical Koine
**Domain:** *Γραμματική* Grammar
**Format:** *Πεζός* Prose

book 1 ARGUMENTA

book a1 ἤδη τῷ πελοποννησιακῷ πολέμῳ κεκμηκότας τοὺς Ἀθηναίους καὶ τοὺς σύμπαντας Ἕλληνας Ἀριστοφάνης ἰδών—ἱκανὸς γὰρ διιππεύκει πολεμούντων αὐτῶν χρόνος— τὸ δρᾶμα συνέγραψε τοῦτο προτρέπων τὰς πόλεις καταθέσθαι μὲν τὴν πρὸς αὑτὰς φιλονεικίαν, ὁμόνοιαν δὲ καὶ εἰρήνην ἀντὶ τῆς πρότερον ἔχθρας ἑλέσθαι. παρεισάγει τοίνυν γεωργόν RVΓLh τινα Lh Τρυγαῖον τοὔνομα μάλιστα τῆς εἰρήνης ἀντιποιούμενον. ὃς ἀσχάλλων ἐπὶ τῷ πολέμῳ εἰς οὐρανὸν ἀνελθεῖν ἐβουλεύσατο πρὸς τὸν Δία πευσόμενος παρ’ αὐτοῦ, δι’ ἣν αἰτίαν οὕτως ἐκτρύχει τὰ τῶν Ἑλλήνων πράγματα τοσοῦτον ποιήσας πόλεμον αὐτοῖς. ὃν δὴ διαποροῦντα, τίνα τρόπον τὴν εἰς RVΓLh τὸν Lh οὐρανὸν πορείαν ποιήσει, παρεισάγει τρέφοντα κάνθαρον ὡς ἀναπτησόμενον εἰς οὐρανὸν δι’ αὐτοῦ Βελλεροφόντου δίκην. προλογίζουσι δὲ οἱ δύο θεράποντες αὐτοῦ, οἷς καὶ ἐκτρέφειν προσετέτακτο τὸν κάνθαρον, δυσφοροῦντες ἐπὶ τοῖς αὐτοῦ σιτίοις. ἡ δὲ σκηνὴ τοῦ δράματος ἐκ μέρους μὲν ἐπὶ τῆς γῆς, ἐκ μέρους δὲ ἐπὶ τοῦ οὐρανοῦ. ὁ δὲ χόρος συνέστηκεν ἔκ τινων ἀνδρῶν ἀττικῶν γεωργῶν. RVΓLh

book a2 φέρεται ἐν ταῖς διδασκαλίαις δεδιδαχὼς Εἰρήνην ὁμοίως ὁ Ἀριστοφάνης. ἄδηλον οὖν, φησὶν Ἐρατοσθένης, πότερον τὴν αὐτὴν ἀνεδίδαξεν ἢ ἑτέραν καθῆκεν, ἥτις οὐ σῴζεται. Κράτης μέντοι δύο οἶδε δράματα γράφων οὕτως· “ἀλλ’ οὖν γε ἐν τοῖς Ἀχαρνεῦσιν ἢ Βαβυλωνίοις, ἢ ἐν τῇ ἑτέρᾳ Εἰρήνῃ” καὶ σποράδην διά τινα ποιήματα παρατίθεται, ἅπερ ἐν τῇ νῦν φερομένῃ οὐκ ἔστιν. RVΓLh

book a3 Τρυγαῖος ἄγροικος πρεσβύτης Ἀθήνησιν ὀχούμενος ἐπὶ κανθάρου ὑπὲρ τῆς Ἑλλάδος εἰς τὸν οὐρανὸν ἀναφέρεται. γενόμενος δὲ κατὰ τὴν τοῦ Διὸς οἰκίαν ἐντυγχάνει τῷ Ἑρμῇ. καὶ ἀκούσας ὅτι μετοικισαμένων τῶν θεῶν εἰς τὰ τοῦ οὐρανοῦ ἀνωτάτω διὰ τὴν τῶν Ἑλλήνων ἀλληλοκτονίαν ἐνοικισάμενος ὁ Πόλεμος εἰς ἄντρον VΓLh τι Lh τὴν Εἰρήνην εἵρξας λίθους ἐπεφόρησε, καὶ νῦν μέλλει τὰς πόλεις ἐμβαλὼν ἐν θυείᾳ τρίβειν, μέχρι μέν τινος ἐναγώνιος VΓLh γίνεται· ἐπεὶ δὲ μεταπεμπομένου τοῦ Πολέμου παρὰ Ἀθηναίων δοίδυκα Κλέωνα καὶ παρὰ Λακεδαιμονίων Βρασίδαν ἑκάτεροι χρήσαντες ἀπολωλεκέναι εἰς Θρᾴκην ἔφασαν, ἀναθαρρεῖ· καὶ ἐν ᾧ περὶ κατασκευὴν δοίδυκος ὁ Πόλεμος γίνεται, VLh κηρύττει τοὺς δημιουργοὺς 〈καὶ γεωργούσ〉, ἔτι δὲ καὶ ἐμπόρους ἅμας 〈καὶ〉 μοχλοὺς καὶ σχοινία λαβόντας παραγενέσθαι. συνδραμόντων δὲ πολλῶν ἐν χοροῦ σχήματι προθύμως ἀφέλκει τε τοὺς λίθους ἀπὸ τοῦ ἄντρου

καὶ καθικετεύσας τὸν Ἑρμῆν συλλαβέσθαι ἐξάγει πρὸς τὸ φῶς τὴν Εἰρήνην. ἀσμένως δὲ τῆς θεοῦ πᾶσιν ὀφθείσης

book a3 καὶ παρ' αὐτὴν εὐθέως Ὀπώρας τε καὶ Θεωρίας ἀναφανεισῶν συμπαρὼν ὁ Ἑρμῆς ἀνιστορούσης τι τῆς Εἰρήνης καὶ πυνθανομένης τε τὰ περὶ τὸν Τρυγαῖον διασαφεῖ, τὰ δέω πάλιν ἀποφαινομένης πρὸς τοῦτο μηνύει προδιελθόντος αὐτοῦ καὶ περὶ τῆς ἀρχῆς τοῦ πολέμου, καὶ δι' ἃς αἰτίας συνέστη, Φειδίου τε καὶ Περικλέους μνησθέντος. τὰ λοιπὰ τοῦ δράματος ἐπὶ τῆς γῆς ἤδη περαίνεται. καὶ ὁ μὲν χορὸς περὶ τῆς τοῦ ποιητοῦ τέχνης χἀτέρων τινῶν πρὸς τοὺς θεατὰς διαλέγεται, ὁ δὲ Τρυγαῖος, καθὰ συνέταξεν ὁ Ἑρμῆς, 〈τὴν μὲν Θεωρίαν〉 τῇ βουλῇ συνέστησεν, αὐτὸς δὲ τὴν Ὀπώραν γαμεῖν διαγνοὺς τὴν Εἰρήνην ἱδρύεται, καὶ θύσας ἐν τῷ προφανεῖ πρὸς εὐωχίαν τρέπεται. τοὐντεῦθεν οἵ τε τῶν εἰρηνικῶν ὅπλων δημιουργοὶ χαίροντες καὶ

book a3 οἱ τῶν πολεμικῶν τοὔμπαλιν κλάοντες. εἰσάγεται δὲ καὶ ἐπὶ τέλει τοῦ λόγου παιδία τινὰ τῶν κεκλημένων ἐπὶ τὸ δεῖπνον λέγοντα ῥήσεις γελωτοποιούς. τὸ δὲ δρᾶμα τῶν ἄγαν ἐπιτετευγμένων. τὸ δὲ κεφάλαιον τῆς κωμῳδίας ἐστὶ τοῦτο· συμβουλεύει Ἀθηναίοις σπείσασθαι πρὸς Λακεδαιμονίους καὶ τοὺς ἄλλους Ἕλληνας. οὐ τοῦτο δὲ μόνον ὑπὲρ εἰρήνης Ἀριστοφάνης τὸ δρᾶμα καθῆκεν, ἀλλὰ καὶ τοὺς Ἀχαρνεῖς καὶ τοὺς Ἱππέας καὶ Ὁλκάδας· καὶ πανταχοῦ τοῦτο ἐσπούδακε τόν τε Κλέωνα κωμῳδῶν τὸν ἀντιλέγοντα καὶ Λάμαχον τὸν φιλοπόλεμον ἀεὶ διαβάλλων. διὸ καὶ νῦν διὰ τούτου τοῦ δράματος εἰρήνης αὐτοὺς ἐπιθυμεῖν ποιεῖ δεικνὺς ὁπόσα μὲν ὁ πόλεμος κακὰ ἐργάζεται, ὅσα δὲ ἀγαθὰ ἡ εἰρήνη ποιεῖ. οὐ μόνος δὲ περὶ τῆς εἰρήνης συνεβούλευσεν, ἀλλὰ καὶ ἄλλοι πολλοὶ ποιηταί. οὐδὲν γὰρ συμβούλων

book a3 διέφερον· ὅθεν αὐτοὺς καὶ διδασκάλους ὠνόμαζον, ὅτι πάντα τὰ πρόσφορα διὰ δραμάτων αὐτοὺς ἐδίδασκον. ἐνίκησε δὲ τῷ δράματι ὁ ποιητὴς ἐπὶ ἄρχοντος Ἀλκαίου ἐν ἄστει. πρῶτος Εὔπολις Κόλαξι, δεύτερος Ἀριστοφάνης Εἰρήνῃ, τρίτος Λεύκων Φράτορσιν. τὸ δὲ δρᾶμα ὑπεκρίνατο Ἀπολλόδωρος ἡνίκα ἑρμῆν λοιοκρότης. V

book a4 τῷ Διὶ φράσαι σπεύδων τὰ κατ' ἀνθρώπους Τρυγαῖος θέλων ὡς τοὺς θεοὺς ἐξέτρεφεν ὄρνιθ'· ὡς δ' ἀνέπτη, κατέλαβεν Ἑρμῆν μόνον ἄνω. κᾆτ' ἐπιδείκνυσιν φράσας τὸν Πόλεμον βρύθηται ἀπηρτημένον ἀέριος ἕτοιμόν τ' ὄντα πρὸς κακουχίαν. τὴν πρότερον Εἰρήνην δὲ κατορωρυγμένην ἱκέτευσαν οἱ κατ' ἀγροὺς ἀνάπαλιν ποεῖν. τὸ μέλ βαδ' ἐπένευσε, καὶ τότε ἀπάγουσιν αὐτὴν ⟦τὴν⟧ ἐκ βερέθρου καὶ τἀγαθά. V

book 1 (1) οἰκέτης· (2) ἕτερος οἰκέτης· (3) Τρυγαῖος· (4) παῖδες Τρυγαίου· (5) Ἑρμῆς· VLh (6) Πόλεμος· Lh (7) χορὸς γεωργῶν ἀθμονέων· VLh (8) θεράπων Τρυγαίου ἕτερος· Lh (9) Ἱεροκλῆς VLh μάντις χρησμολόγος· V (10) δρεπανουργός· (11) λοφοποιός· VLh (12) θωρακοπώλης· (13) σαλπιγγοποιός· (14) κρανοπώλης· Lh (15) δορυξόος· (16) παῖς Λαμάχου· (17) παῖς Κλεωνύνου VLh τοῦ ῥιψάσπιδος. V

book 1a τοῦ δράματος πρῶτοι τρίμετροι ἴαμβοι ἀκατάληκτοι π', ὧν τελευταῖος ἱππηδὸν ἐς τὸν ἀέρ' ἐπὶ τοῦ κανθάρου. μετὰ δὲ πεντήκοντα ὀκτώ ἐστι προαναφώνημα τὸ "ἔα ἔα", καὶ τὰ ἑξῆς ἰαμβικά. V

book 1b 〈Αἶρ' αἶρε: ἡ εἴσθεσις τοῦ δράματος ἐξ ἰαμβείων π' συνήθων. τὸ μέντοι ξ' μονόμετρον ἀκατάληκτον. ἐπὶ ταῖς ἀποθέσεσι καὶ τῷ τέλει παράγραφος.〉 Ald

book 1c δύο εἰσὶν οἰκέται, ὧν ὁ μὲν τρέφει τὸν κάνθαρον, ὁ δὲ ἕτερος μάττει. ὁ τρέφων οὖν λέγει πρὸς τὸν μάττοντα RVLh "αἶρε αἶρε". Lh

book 1d αἶρ' RV αἶρε μᾶζαν: "αἶρε" R ἀντὶ τοῦ "φέρε". καὶ παρ' Ὁμήρῳ ἀξιοῦσι τὸ "αἶρε" ἀντὶ τοῦ "διδόναι" καὶ "προσφέρειν" λέγεσθαι ἐν τῷ μή μοι οἶνον ἄειρε. RV

book 1e

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἐπαναδίπλωσις τὸ σχῆμα τοῦ λόγου· δὶς γὰρ τῇ αὐτῇ λέξει κέχρηται. V

book 1f μᾶζαν V: μᾶζα κυρίως ἡ τροφὴ ἡ ἀπὸ γάλακτος καὶ σίτου· παρὰ τὸ μάττεσθαι. RVLh

book 1g τὸ “μᾶζαν” 〈προ〉 περισπαστέον· τουτέστι τροφήν, καταχρηστικῶς δὲ τῇ λέξει κέχρηται. οὐ γὰρ τὴν ἐξ ἀλφίτων φυραθεῖσαν νῦν δηλοῦν θέλει—οὐ γὰρ αὕτη κανθάρων τροφή—RV ἀλλὰ τὸ ἀποπάτημα, λέγω δὴ τὴν κόπρον· τοιαύτη γὰρ ἡ τῶν κανθάρων τροφή. R

book 1h πίτυρά τινα ῥυπαρὰ μάττουσιν οἱ οἰκέται. κόπρον γὰρ φυρᾶν ἀπίθανον. RVLh

book 1i ὡς τάχιστα R: ἢ τάχος ἢ διὰ ταχέων. RVLh διὰ δὲ τοῦ σπουδαίου τοῦ παρὰ τῶν οἰκετῶν πρὸς τὸν κάνθαρον ἐμφαίνει τὴν περὶ αὐτὸν τοῦ δεσπότου μεγίστην φροντίδα. RV

book 1j κάνθαρος εἶδος ζῴου παρὰ τὰς σίλφας τὸ μέγεθος. RVLh

book 1k ἀναβιβαστέον τὸν τόνον· οὕτω γὰρ Ἀττικοί. RV

book 2a παρεπιγραφή· ὁ γὰρ ἕτερος τῶν οἰκετῶν τὸ προσταχθὲν ποιῶν VLh αὐτῷ Lh παραφέρι καὶ ἐπιδίδωσι τὴν τροφήν. VLh

book 2b alpha αὐτῷ κτλ.] ἀπεχθάνεται 〈πρὸσ〉 τὸν κάνθαρον διὰ τὸ ἅπτεσθαι τῆς κόπρου. Lh

book 2b beta δὸς κτλ.] διὰ γὰρ τὸ ἀνάγκην ἔχειν ἅπτεσθαι καὶ ψηλαφᾶν τῆς κόπρου ἀπεχθάνεται πρὸς τὸν κάνθαρον. V

book 3a μᾶζαν ἡδίω R: οὐχ ὡς ὄντως τρώγοντος, ἀλλὰ πρὸς τὸ μυθευόμενον ἔπαιξεν. RbisVbis

book 3b 3] πρὸς τὸ μυθευόμενον ἔπαιξε· οὐ γὰρ ὄντως ἤσθιεν. Lh

book 4a δὸς μᾶζαν ἑτέρα] καταχρηστικῶς κέχρηται τῇ λέξει. V

book 4b alpha ἐξ ὀνίδων R: ὡς ἐπίτηδες γὰρ πεπλασμένα ἐστὶ τὰ τῶν ὄνων ἀποπατήματα. RV

book 4b beta ἐξ ὀνίδων] ἐπίτηδες εἰσάγεται τὰ τῶν ὄνων ἀποπατήματα. Lh

book 5a ἣν Lh νῦν δὴ ’φερες RLh: “νῦν δή” R οὕτως Ἀττικοὶ RLh ἀντὶ τοῦ “ἀρτίως”. RVLh

book 5b ἐν ἐρωτήσει VLh τὸν λόγον νῦν προσάγει. V ἐκείνου γὰρ αἰτήσαντος μᾶζαν ἑτέραν φησὶν αὐτός· ἣν γὰρ νῦν VLh αὐτῷ V προσέφερες οὐ κατέφαγεν; VLh ὥς τε〈θη〉πώς. διόπερ ἐκείνου ἀρνουμένου μὴ βεβρωκέναι τὸν πρότερον πέλεθον τὸν κάνθαρον προστίθησι καὶ τὴν αἰτίαν, ὡς περικυλίσας ἐνέκαψεν. V

book 6 οὐ κατέφαγεν R: ἄλλο φαγεῖν καὶ ἄλλο καταφαγεῖν RVLh καὶ ἄλλο καταπιεῖν. RV φαγεῖν μὲν γὰρ τὸ τάξει, καταφαγεῖν δὲ τὸ ἀθρόως, RVLh καταπιεῖν δὲ τὸ μήτε μασώμενον ἐσθίειν. RV τὸ οὖν ἀδηφάγον τοῦ ζῴου δεικνὺς λέγει· RVLh ὅτι οὐ κατέφαγεν, ἀλλὰ κατέπιεν μήτε μασησάμενος. RV

book 7a λέγεται ὁ κάνθαρος εἰς ὄνθον ἀποσπερματίζειν καὶ οὕτω περιστρέφειν τοῖς ποσίν, ἕως ὅταν ἐκγυμνασθὲν τὸ σπέρμα ἀποδοθῇ καὶ ἐγγεννήσῃ. θῆλυς γὰρ κάνθαρος οὐ γίνεται, ἀλλὰ πάντες ἄρρενες RVLh γεννῶνται. RV

book 7b περικυλίσας: περιελκύσας καὶ περισύρας. V ἔθος δὲ τοῖς κανθάροις τὰς ὀνίδας περικυλίειν. VLh

book 7c περικυλίσας Lh: περιαλίσας. Lhbis

book 7d τοῖν ποδοῖν RV: πρὸς τὴν τάξιν τῶν ποδῶν ἀκολούθως τὸ δυϊκόν. RVLh καὶ ἐν Νεφέλαις RV ἐπὶ τῆς ψύλλης V ἐνέβαψεν εἰς τὸν κηρὸν αὐτῆς τὼ πόδε. καὶ παρὰ τῷ ποιητῇ τεσσάρων ἵππων ὄντων τῷ Ἕκτορι, δύο μὲν δεξιῶν, δύο δὲ ἀριστερῶν, πρὸς τὴν τάξιν ἀκολούθως ἐπήνεγκε νῦν μοι τὴν κομιδὴν ἀποτίνετον. RV

book 9a κοπρολόγοι Lh: τοῦτο ἤτοι πρὸς τοὺς VLh ἄλλους V ῥήτορας VLh καίτοι χαριεντιζόμενος V ἀποτείνεται διαβάλλων αὐτοὺς ὡς μυσαροὺς καὶ λοιδόρους, ἤ, VLh διότι τὰς κόπρους τοῖς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

οἰκέταις προσετέτακτο βαστάζειν εἰς τροφὴν τοῦ κανθάρου, V τοὺς συνεργοὺς VLh οὖν V τῶν ὁμοδούλων εἰς ἐπικουρίαν καλεῖ. VLh

book 9b προσλάβεσθε Lh: βοηθήσατε. VLhbis συνέχει γὰρ τῇ μιᾷ VLh χειρὶ Lh τὴν ῥῖνα, τῇ δὲ ἑτέρᾳ μάττει. ζητεῖ οὖν τοὺς διαδεξομένους. VLh

book 10 ἀποπνιγέντα RLh: συνέχει γὰρ τὰς ῥῖνας διὰ τὸ φυρᾶν τὴν κόπρον ὑπὲρ τοῦ μὴ ὀδωδέναι αὐτῷ. μήτε οὖν διεξιόντος ἔτι τοῦ πνεύματος μήτε τοῦ ἔξωθεν ἀέρος σπωμένου, ἀλλ’ RV ἀποκεκλειμένων τῶν ῥινῶν τῇ θλίψει τῶν δακτύλων, ἀνάγκη στενοχωρουμένου τοῦ πνεύματος πνίγεσθαι αὐτόν. RVLh

book 11a ἑτέραν ἑτέραν Lh: οἱ Ἀττικοὶ καὶ ἐπὶ πολλῶν λέγουσι VLh τὸ V “ἑτέραν”, ἡμεῖς VLh δὲ Lh ἐπὶ δευτέρας μόνης. VLh

book 11b ἑτέραν RV ἑτέραν R: ἐπὶ RVLh τῆς RV τρίτης ἑτέραν εἶπεν. RVLh ὅλως δὲ ἡ παρατετηρημένη ἐπί τε τοῦ ἑτέρου καὶ ἄλλου διαφορὰ παρ’ Ἀττικοῖς οὐκ ἔστιν. VLh

book 11c ἠταιρηκότος Lh: ἐπειδὴ ἐκείνων δοκεῖ ἡ κόπρος τετρίφθαι ὡς ἠταιρηκότων. VLh

book 11d ἠταιρηκότος: ἴσως ἵνα τοῦ τρίβειν ἀπαλλαγῇ RV διὰ τὸ τὴν τῶν παίδων τετριμμένην εἶναι καὶ ἑτοίμην ἐκ τῶν χρωμένων. RVbis

book 11e ἠταιρηκότος] ἁπαλοῦ, ἀσελγοῦς, νεωτέρου. V

book 11f ἠταιρηκότος] ἀσελγηκότος. G

book 12 ἐκ τοῦ ἑτοίμως RVbisLh καὶ προχείρως RVbis προσενεγκεῖν διαβάλλει τοὺς Ἀθηναίους ὡς πολλῶν καὶ ποιούντων RVbisLh ὄντων R παρ’ αὐτοῖς RVbisLh τὰ τοιαῦτα Lh καὶ πασχόντων. RVbisLh

book 13 τοῦ τρίβειν καὶ φυρᾶν τὴν κόπρον. ἐκέρδανα, φησί, διὰ τὸ μὴ ἴσως χρῄζειν ἔτι τοιούτου κόπου τὴν τοῦ ἠταιρηκότος τούτου παιδὸς κόπρον, ἀλλ’ ὥσπερ ἑτοίμην καθεστηκέναι ⟦τρίβειν καὶ⟧ 〈διὰ τὸ〉 ἀνατετρίφθαι ὑπὸ τῶν χρωμένων. V

book 14a οὐδεὶς φαίη Lh: οὐ γὰρ ἄν τις ὑποπτεύσειε διὰ τὸ φυρᾶν ἐμὲ ἤδη καὶ τὴν κόπρον ἐσθίειν. VLh

book 14b δυοῖν ὄντων τῶν περὶ ἐμὲ δυσχερῶν, τῆς τε δυσωδίας, ἣν ἀπὸ τοῦ μαλάσσειν καὶ φυρᾶν τὴν κόπρον συνέβαινε πάσχειν, καὶ τῆς περὶ τῆς τροφῆς ὑποψίας, ἤδη φανερῶς τοῦ ἑνὸς ἀπαλλαγείς, τοῦ μηκέτι καταναγκάζεσθαι φυρᾶν τὴν κόπρον, ἡγοῦμαι ἀπηλλάχθαι, φησί, καὶ τῆς ὑπονοίας τῆς ἐπὶ τῇ τροφῇ· V οὐδένα γὰρ VLh ὑμῶν V πιστεύειν οἴομαι ὅτι ἐπιμάττων καὶ φυρῶν ἤδη καὶ ἐσθίω. VLh

book 14c εἰώθασι γὰρ ἅμα τῷ μάττειν ἐσθίειν. VLh ἀφ’ οὗ καὶ τὴν παυσικάπην ἐπενόησαν, τροχοειδές τι, δι’ οὗ τὸν τράχηλον εἶρον πρὸς τὸ μὴ δύνασθαι τὴν χεῖρα προσάγειν. μέμνηται δὲ ἐν Ἥρωσιν Ἀριστοφάνης παύσειν ἔοιχ’ ἡ παυσικάπη κάπτοντά σε. V

book 14d δῆλον ὅτι πίτυρα ἦν· ἀπίθανον γὰρ κόπρον μάττειν. V

book 15a αἰβοῖ] σχετλιασμοῦ δηλωτικόν. VLh

book 15b εἰκότως ἐσχετλίασε διὰ τὴν ὀσμήν. V

book 17a ὑπερέχειν RLh τῆς ἀντλίας R: ἀντὶ τοῦ Lh ἀντέχειν καὶ περιγίνεσθαι τῆς ὀσμῆς. RVLh

book 17b ἀπὸ μεταφορᾶς τῶν πλοίων, ἅπερ κινδυνεύει τῆς ἀντλίας πληρωθείσης. RVLh βούλεται δὲ εἰπεῖν· ὅτι νικῶμαι μάττων. RV

book 17c μεταφορικῶς ἀπὸ τοῦ τόπου τῆς νεὼς ἐξ οὗ τὸ ὕδωρ ἀρύουσιν. φησὶν οὖν· ὅτι οὐ δύναμαι ὑποφέρειν ὡς καὶ αὐτοῦ τοῦ ὕδατος ὑπεράνω μου γεγενημένου—διὰ δὲ τούτου τὴν ἀδηφαγίαν τοῦ κανθάρου δηλοῖ—ὡς ὑπερκεράσαντος ὕδατος τῆς ἀντλίας. V

book 18a

Eulogikon public reading copy · View original HTML at eulogikon.org

συλλαβὼν τὴν ἀντλίαν R: ἀντὶ τοῦ “τὴν σκάφην”. ταῦτα δὲ εἰπὼν προσφέρει τὸ ἀγγεῖον, ἐν ᾧ ἐφύρα. RV “σεμνύνεται” καὶ “ἐπαίρεται”. RV

book 18b τὸ ἀγγεῖον, ἐν ᾧ ἐφύρα, οὗτος λέγει. Lh

book 19 ἐς κόρακάς γε R: ἀπόφερε τὴν ἀντλίαν καὶ σεαυτόν. RV

book 20a ὑμῶν δέ γ’ εἴ τις: πρὸς τοὺς ἀκροατὰς τὸν λόγον ὁ ποιητὴς ἄγαν εὐφυῶς ποιεῖται. Lh

book 20b ὑμῶν] τῶν θεατῶν. Lh

book 20c κατειπάτω] εἰπάτω μοι. Lh

book 21a μὴ τετρημένην] διὰ τὸ μὴ ὀσφραίνεσθαι τῆς κόπρου. RVLh

book 21b τῶν μυκτήρων ἀποκεκλειμένων. VLh

book 21c τετρημένην] τετρυπημένην. Lh

book 24a ὗς καὶ κύων: κοπροφάγα τὰ ζῷα. R

book 24b ἀντὶ τοῦ “ἀτρίπτως”. R

book 24c ὥσπερ ἂν χέσῃ τις Lh: ἄνθρωπος δηλονότι. ὥσπερ ἂν χέσῃ RLh τις, φησίν, Lh οὕτως ἐσθίει τὰ ἀποπατήματα RLh καὶ ὗς καὶ κύων Lh μὴ δεόμενοι τοῦ μάττεσθαι RLh αὐτά. R

book 25a φαύλως ἐρείδει R: ἁπλῶς καὶ ἀπεριέργως ἐσθίει. RV

book 25b συντόνως ἐσθίει. VLh

book 25c ἡ μεταφορὰ ἀπὸ τῶν ἐρεσσόντων VLh καὶ ἐπερειδομένων ταῖς κώπαις. V

book 25d οὕτω γάρ φασιν οἱ Ἀττικοὶ πᾶν ὁτιοῦν συντόνως γινόμενον. V

book 26a βρενθύεται R: ἀντὶ τοῦ “σεμνύνεται” καὶ “ἐπαίρεται”. RV

book 26b βρενθύεται V: μέγα φρονεῖ. VLh

book 26c βρένθος εἶδος μύρου, ᾧ χρώμεναι αἱ γυναῖκες μέγα φρονοῦσιν. R

book 26d οἱ μὲν ἀπὸ βρένθους τοῦ φυτοῦ, οἱ δὲ μύρου εἶδος, ᾧ χρίονται αἱ γυναῖκες καὶ ἐπ’ αὐτῷ μέγα φρονοῦσιν. V

book 27 ἄρτον V δηλονότι. VLh

book 28a alpha ὥσπερ γυναικὶ R: αἱ γὰρ γυναῖκες, ἵνα μὴ δοκοῖεν πολυφάγοι εἶναι, ἐκ τῆς πυκνότητος τῆς μάζης μικρᾶς εἶναι δοκούσης ὀλιγοφαγίας δόξαν ἐμφαίνουσι στρογγύλας αὐτὰς ποιοῦσαι τὰς μάζας. RV

book 28a beta ὥσπερ γυναικὶ γογγύλην: αἱ γὰρ γυναῖκες, ἵνα μὴ δοκοῖεν πολυφάγοι εἶναι, στρογγύλας ποιοῦσι τὰς μάζας ὡς γογγύλας ὀλιγοφαγίας δόξαν θηρώμεναι. εἶδος δὲ λαχάνου ἡ γογγύλη. Lh

book 28b alpha γογγύλῃ παρείκασεν αὐτάς, ἐπειδὴ καὶ αἱ γογγύλαι στρογγύλαι παρ’ αὐτοῖς. V

book 28c alpha λαχάνου εἶδος, ὃ παρά τισι ῥάφανον καλεῖται. V

book 28d ὡς τῶν γυναικῶν ἑαυταῖς ἐπιμελέστερον τριβουσῶν, ὥστε μὴ διακεχύσθαι τὴν μᾶζαν διὰ τὸ ἄτριπτον εἶναι, ἀλλὰ συνεστράφθαι. παρατετήρηκε δὲ ταῦτα καὶ Σώφρων. V

book 28e καὶ Καλλίμαχος· V γογγύλος ἐστὶ λίθος. VLh

book 28f ὑπ’ αὐτῆς. VLh

book 29a εἰ τῆς τροφῆς ἐπαύσατο κορεσθείς. VLh

book 29b alpha ἐδωδῇ] παρὰ τὸ ὀδωδέναι ἐχρήσατο. R

book 29b beta νῦν τῇ ἐδωδῇ ἐχρήσατο παρὰ τὸ ὀδωδέναι τὴν κόπρον. V

book 30

παροίξας Lh: ὀλίγον διανοίξας τὴν θύραν, ὥστε ἰδεῖν μὲν τὰ ὑπ’ αὐτοῦ πραττόμενα, μὴ ὁραθῆναι δὲ ὑπ’ αὐτοῦ. VLh

book 30alpha δῆλον δέ, ὅτι καὶ τοῦτο παρεπιγραφή ἐστι· δεῖ γὰρ αὐτὸν ἠρέμα ἀνοῖξαι καὶ κατανοῆσαι, V

book 30beta ἀνοίγει δὲ ἠρέμα καὶ βλέπει, Lh

book 30 εἴτε ἐσθίει VLh ὁ κάνθαρος V εἴτε πέπαυται. VLh

book 31a πρὸς τὸν κάνθαρον λέγει. V

book 31b ἡ μεταφορὰ ἀπὸ τῶν ἐρεττόντων VSu.

book 31b alpha 〈καὶ ἐπερειδομένων ταῖς κώπαις.〉 Su. II 406, 17

book 31b beta ὅταν προσερείδωσι σφοδρῶς τῇ θαλάττῃ τὰς κώπας. V

book 32alpha ὅτι ἐκ παραλλήλου κεῖται τὸ “ἕως” καὶ “τέως”, καὶ ὅτι εἰς ὑπόδειγμα χρήσιμον. V

book 32beta παρατηρητέον ὅτι ἐνταῦθα 〈ἀ〉- διαφόρως ἐχρήσατο “τέως” καὶ “ἕως”. ἔστι δὲ χρήσιμα εἰς ὑπόδειγμα. V

book 33a πιθανῶς διὰ τὸ θαυμάζειν μὴ ὁρῶσι τοῖς θεαταῖς παρίστησιν. V

book 33b οἷον ἐγκύψας. V

book 33c διὰ τοῦ σχήματος τὴν ἀδηφαγίαν αὐτοῦ δηλοῖ. RVLh καὶ γὰρ τῶν ἀνθρώπων καὶ τῶν θρεμμάτων οἱ μάλιστα τοῖς ἐδέσμασιν ἐγκεκυφότες καὶ προσκείμενοι δοκοῦσι μάλιστα ἀπλήστως καὶ περισπουδάστως ἐσθίειν. V

book 34a τῇ μεταφορᾷ ἐχρήσατο καὶ V διὰ τὸ VLh τὸν κάνθαρον V μιμεῖσθαι τοὺς παλαιστὰς διαι〈ω〉ρούμενον ἐν τῷ κυλίειν τὴν κόπρον. VLh

book 34b ὁμοῦ μὲν ὡς τῶν παλαιστῶν ἀδηφαγούντων, ὁμοῦ δὲ τῷ ἐπιφερομένῳ οἰκείως τῶν παλαιστῶν ἐμνημόνευσε καὶ τῇ εἰκόνι ἐχρήσατο. δοκοῦσι γὰρ οἱ κάνθαροι, ἐπειδὴ ἐφέλκονται τὰς κόπρους, τῶν παλαιστῶν μιμεῖσθαι τὸ σχῆμα, ᾧ ἐν ἀρχῇ χρῶνται τῆς πάλης. V

book 34c παραβαλὼν RLh: ἀντὶ τοῦ “χαλάσας τοὺς ἐμπροσθίους ὀδόντας”, RVLh

book 34c alpha ὥσπερ καὶ χαλάσαι κώπην λέγουσι παραβαλεῖν. V

book 34c beta ὡς οἱ τὰ σχοινία τῶν ὁλκάδων. Lh

book 35 τὸν αὐτὸν τρόπον. ἢ οὕτως· ὁμοίως ἑλίσσων τὰς χεῖρας. διὰ δὲ τὸ ἐφέλκεσθαι αὐτοὺς τὰς κόπρους ἀνάγκη τὸ σχῆμα τοῦτο ποιεῖν καὶ ἑνὶ παρ’ ἑνὶ ἐφέλκεσθαι τῶν ποδῶν. χεῖρας δὲ ἐκάλεσε τοὺς ἐμπροσθίους πόδας. V

book 36a ὡδὶ: κάνθαρος. R

book 36b περιάγων R: παρακατεάσων, V παρέλκων. RV

book 36c καὶ γὰρ ἐκεῖνοι δεῦρο κἀκεῖ ἐν τῇ πλοκῇ περιφέρουσι τὴν κεφαλήν. RV

book 36d ὥσπερ οἱ τὰ σχοινία R: κινῶν γὰρ καὶ μεταβάλλων ἐσθίει ὁ κάνθαρος, ὥσπερ οἱ τὰ ὄργανα στρέφοντες τῶν σχοινίων. RV

book 36e alpha οὕτως ἐσθίει, φησί, κινούμενος, ὥσπερ οἱ ἐργαζόμενοι τὰ σχοινία τὰ μεγάλα τῶν πλοίων, ὅλῳ ⟦ἐργαζόμενοι⟧ τῷ σώματι καὶ ὅλῃ τῇ ψυχῇ καὶ τῇ δυνάμει ἐργάζονται ἐν τῷ πλέκειν· οὕτως ὅλῃ τῇ δυνάμει ὁ κάνθαρος, φησίν, ἐσθίει κινούμενος. V

book 36e beta ὡδὶ περιάγων: οὕτω, φησί, κινούμενος, ὥσπερ οἱ τὰ μεγάλα σχοινία ἐργαζόμενοι τῶν πλοίων ὅλῳ τῷ σώματι καὶ δυνάμει ἐργάζονται. Lh

book 36f ἐπεὶ οἱ σχοινοπλόκοι συμπεριάγονται τῇ τῶν σχοινίων συμπλοκῇ διὰ τῆς τροχιλίας. V

book 37a τούτους ἐκάλουν VLh καὶ V σχοινιοσυμβόλους. VLh

book 37b

Eulogikon public reading copy · View original HTML at eulogikon.org

συμβάλλοντες] συμπλέκοντες, Lh συνδέοντες. VLh

book 38a κάκοσμον R: δικαίως VLh τοιαῦτα ἑστιώμενα κάκοσμά εἰσιν. RVLh

book 38b καὶ βορόν R: οὕτως V ὀξυτόνως ἀντὶ τοῦ “ἀδηφάγον”. RV

book 39a χὤτου ποτ’ ἐστὶ RLh: ἐπεὶ ἓν ἕκαστον τῶν ὀρνέων ἀνάκειται θεῷ τινι, ὡς ὁ ἀετὸς τῷ Διὶ RVLh καὶ ἡ γλαῦξ τῇ Ἀθηνᾷ. R

book 39b ἡ προσβολὴ: ἡ ζημία, ἡ τοῦ δαίμονος ὀργή. RVLh

book 39c ἀντὶ τοῦ “ζῷον” εἰπεῖν “ζημίαν” εἶπε καταρώμενος αὐτῷ. RVLh

book 40a οὐκ ἔστι, φησί, τῆς Ἀφροδίτης, ἐπεὶ αὕτη μὲν μύροις χαίρει, ὁ δὲ δυσώδης ἐστίν. RVLh

book 40b Ἀφροδίτης RV μὲν γὰρ V: μύροις γὰρ ἡ θεὸς ἥδεται. διὸ καὶ τοὺς ὕας ἀλλοτρίους εἶναί φαμεν τῆς θεοῦ—βορβορώδεις γάρ—προσφιλεῖς δὲ τὰς πελειάδας διὰ τὸ τιθασὸν καὶ καθαρὸν αὐτῶν. RV

book 40c Ἀφροδίτης] ἀναφρόδιτον γὰρ τὸ ζῷον. V

book 41a οὐδὲ τῶν Χαρίτων. V

book 41b alpha οὐ μὴν Χαρίτων: Ἀφροδίτης μὲν γὰρ καὶ Χαρίτων πολλὴ κοινωνία. R

book 41b beta ἑξῆς μετὰ τὴν Ἀφροδίτην τῶν Χαρίτων ἐμνημόνευσεν. δοκεῖ γάρ πως κοινωνία εἶναι τούτων τῶν θεῶν· οὐδὲν γὰρ ἐπαφρόδιτον, ὃ μή ἐστι Χαρίτων. V

book 41c alpha τοῦ γάρ] τίνος ἆρα; V

book 41c beta τίνος οὗτός ἐστιν; Lh

book 41-42 ἀντὶ τοῦ “Διὸς ἂν εἴη”. RV

book 42a Διὸς καταιβάτου RLh: καταιβάτης τιμᾶται RVLh C ὁ V Ζεὺς RVLh C παρὰ τοῖς Ἀθηναίοις RV παρὰ τὸ καταβιβάζειν τοὺς κεραυνούς. RVLh C

book 42b ἢ ἀπὸ RVLh C τῶν κεραυνῶν τῶν ἄνωθεν πιπτόντων ἢ ἀπὸ V τοῦ καταβαίνειν δι’ ἔρωτα τῶν χθονίων γυναικῶν. RVLh C

book 42c παίζει καταιβάτην αὐτὸν καλῶν, ἐπεὶ σκάτοις τρέφεται ὁ κάνθαρος. RVLh C

book 43a οὐκοῦν ἂν ἤδη Lh τῶν θεατῶν R: ἐνταῦθα θέλων τὴν ὑπόθεσιν δηλῶσαι σκώπτει τοὺς Ἀθηναίους ὡς RVLh φιλοκερδεῖς καὶ Lh φιλολοιδόρους. φησὶ γάρ· πάντως τις τῶν θεατῶν βλέπων τὸν κάνθαρον ἀνίσταται λέγων· πρὸς τί τὸν κάνθαρον πεποίηκεν Ἀριστοφάνης; RVLh εἶτα ἄλλος ἐλλόγιμος εἶναι δοκῶν λέγει· πάντως τὸν Κλέωνα θέλει σκῶψαι VLh

book 43a alpha ὁμοίως ὄζοντα αὐτῷ. Lh

book 43a beta διὰ τὸ κανθάρῳ ὁμοίως ὄζειν αὐτόν. V

book 43a ταῦτα δὲ λέγει τοὺς θεατὰς διαλέγεσθαι πρὸς ἀλλήλους πρὶν μαθεῖν τὴν ὑπόθεσιν. VLh ὥσπερ οὐκ ἔδει φήσειν. V

book 43b σκώπτει τὸν Κλέωνα. R

book 43c ἐξ ἀφορμῆς θέλει εἰπεῖν τὴν ὑπόθεσιν. V

book 44 〈δοκησίσοφος: ἀντὶ τοῦ “φρόνιμος”.〉 Su. II 124, 6

book 45 κᾆτ’ αὐτῷ γ’ ἀνὴρ] καὶ πρὸς αὐτόν τις. V

book 46 ἰωνικός τις R: ἑλληνικός, ἀθηναῖος. Ἴων γὰρ ἀρχαῖος Ἀθηναῖος. RV

book 47a alpha τοῦτ’ αἰνίττεται R: διὰ τὸ δύσοσμον. καὶ γὰρ αἱ βύρσαι δύσοσμοι, βυρσοπώλης δὲ ὁ Κλέων. RV

book 47a beta ἰστέον ὡς βυρσοδέψης ἦν ὁ Κλέων, αἱ βύρσαι δὲ δύσοσμοί εἰσιν. Lh

book 47b ἐπειδὴ οἱ βυρσοδέψαι κάκιστον ὀδώδασιν. R

Eulogikon public reading copy · View original HTML at eulogikon.org

book 47c αἰνίττεται: ἀντὶ τοῦ “δηλοῖ”. ἰδίως δὲ τὸ αἰνίττεσθαι δηλοῖ τὸ λεληθότως περί τινος λέγειν. R

book 48a σπατίλη RLh λέγεται R ἡ τῶν ἀνδρῶν κόπρος. RVLh διαβάλλει οὖν τὸν Κλέωνα ὡς σκατοφάγον. RV

book 48b σπάτος τὸ δέρμα, σπατίλη δὲ ὁ ῥύπος τοῦ δέρματος. V

book 48c alpha τὰ μικρὰ ξύσματα τὰ ἐκβαλλόμενα ὑπὸ σκυτέων. V

book 48c beta τὸ ἀπόξεσμα τῶν βυρσῶν, ὃ ἐκβάλλεται ὑπὸ τῶν σκυτέων. Lh

book 48d ἢ καὶ ὡς βυρσοπώλης πνεῖ. V

book 48e πῶς ἤσθιεν ὁ Κλέων ἤδη τεθνηκώς; Ἐρατοσθένης γὰρ ἐπὶ Θρᾴκης τὸν θάνατον Βρασίδου καὶ Κλέωνος ὀκτὼ μησὶ προγεγονέναι φησί· καὶ αὐτὸς δὲ ἐν τούτοις φησίν ἀπόλωλεν Ἀθηναίοις ἀλετρίβανος. ῥητέον οὖν ὅτι τὸ “ἐσθίει” ἀντὶ τοῦ “ἤσθιεν”. V

book 48f τὴν σπατίλην ἐσθίει RLh: ἀντὶ τοῦ “ἤσθιεν”· ἀποθανὼν γὰρ ἦν ὁ Κλέων. RVLh

book 49 τῷ κανθάρῳ: οὐχ ὡς πίνοντος τοῦ κανθάρου, ἀλλ’ ὡς ἐπὶ ἱπποτροφίας. R

book 52-53 τοῖς ... μάλα] τοῖς ὑπερβαίνουσι τὴν τῶν ἀνδρῶν ἡλικίαν. ἢ τοῖς ὑπερηφάνοις. ἢ τοῖς τούτων ἰσχυροτέροις καὶ μᾶλλον ἀκμάζουσιν. καὶ Ὅμηρος· ἠνορέῃ. V

book 55 55] διαβάλλει αὐτοὺς ὡς μαινομένους μανίαν δικανικήν. Lh

book 59a τὸ Lh κόρημα RLh: τὸ σάρον, τὸ κόσμητρον, RVLh ᾧ εἰώθαμεν ἀποκαθαίρειν VLh

book 59a alpha τὸ πλῆθος τῶν ἐν τοῖς οἴκοις ῥύπων. V

book 59a beta τοὺς ῥύπους τῶν οἴκων. Lh

book 59b ἦν RV καὶ R ἀρά τις αὕτη τοῖς ἀρχαίοις, ὥς RV που καὶ ὁ R Μένανδρός φησι πολλάκις ἐκκορηθείης σύ γε βουλόμενος τὸ ἄρδην ἀπολέσθαι σημᾶναι. RV

book 62a alpha 62] εἰσιὼν ταῦτά φησιν. V

book 62b alpha Τρύγαιος RV ὄνομα κύριον V ἀπὸ ῥήματος τῆς δευτέρας συζυγίας τῶν περισπωμένων· καὶ προαναπέμπει τὸν τόνον. ὡς ἀπὸ τοῦ τιμῶ Τίμαιος, οὕτως ἀπὸ τοῦ τρυγῶ Τρύγαιος. ὁ δὲ Ἡρωδιανὸς προπερισπᾷ τὸ Τρυγαῖος. RV

book 62ab beta εἰσιὼν ταῦτά φησιν ὁ Τρυγαῖος. τοῦτο ὄνομα κύριόν ἐστιν, ὃ ὁ μὲν Ἡρωδιανὸς προπερισπᾷ, οἱ δὲ λοιποὶ προπαροξύνουσιν, ὡς ὁ Τίμαιος. Lh

book 62c alpha ὦ Ζεῦ τί δρασείεις: ἀντὶ τοῦ “δρᾶν διανοῇ”. R

book 62c beta τί δρασείεις: ἆρα τί διανοῇ; Lh

book 62d δρᾶσαί ποτε νοῇ, ὦ Ζεῦ. V

book 63a λήσεις σεαυτὸν Lh: ἀντὶ τοῦ “ἀγνοεῖς τέλεον ἀπολέσας τὰς πόλεις”. RVLh

book 63b τὰς πόλεις V ἐκκοκκίσας: ἀντὶ τοῦ “ἐρημώσας” RVLh καὶ “ἀφανίσας”. R ἀπὸ μεταφορᾶς τῶν ῥοιῶν τῶν τοὺς κόκκους ἐκβαλλουσῶν. RVLh ὥσπερ γὰρ αἱ πόλεις σκέπαι τῶν ἀνθρώπων εἰσίν, οὕτω καὶ αἱ ῥοιαὶ τῶν κόκκων. καλῶς οὖν ἐχρήσατο τῇ μεταφορᾷ, καὶ μάλιστα ἄγροικος ὢν RV ὡς πρέπον ἑαυτῷ τοῦτο εἴρηκεν. V

book 63c ἀντὶ τοῦ “ἔρημον οἰκητόρων ποιῶν διὰ τῶν πολέμων”. RVLh

book 63d ὁ Τρυγαῖός ἐστιν ὁ ταῦτα λέγων ἄνθρωπος γεωργός. V

book 64a αὔθ’] αὐτό. Lh

book 64b (οὐ ’γὼ) λέγον] ἔλεγον. Lh

book 65

τῶν μανιῶν Lh: ἀντὶ τοῦ “τῆς μανίας”. RVLh καὶ ἐν Νεφέλαις σὺ δ’ εἰς τοσοῦτον τῶν μανιῶν ἐλήλυθας. RV λέγεται δὲ καὶ ἑνικῶς “ἡ μανία μ’ ἐπέρχεται”, ὡς ἐπὶ τὸ πλεῖστον δὲ πληθυντικῶς. V

book 66 ἡνίκ’ ἤρχεθ’ ἡ χολή] ἡνίκα ἤρχετο ἡ μανία. V

book 68a εὐθὺ τοῦ Διὸς R: ἀντὶ τοῦ “πρὸς τὸν Δία”. RV

book 68b εὐθὺ τοῦ Διὸς Lh: καὶ διὰ τούτου τὴν ὑπερηφανίαν αὐτοῦ δηλοῖ. RVLh

book 68b alpha οὐκ ἀρκεῖ γάρ, ὅτι ἐπὶ κανθάρου ἐπιβῆναι τοῦ οὐρανοῦ προσδοκᾷ, ἀλλὰ καὶ εὐθὺ τοῦ Διὸς ἐλθεῖν ἐβούλετο. RV

book 68b beta ὅτι κανθάρῳ θέλει εἰς τὰς τοῦ Διὸς ἐλθεῖν αὐλάς. Lh

book 68c ὅ ἐστι “πρὸς τὸν Δία”. ὥσπερ εἰς ὡρισμένον τινὰ διατρίβοντος αὐτοῦ τόπον, καὶ μὴ πάντα πληροῦντος τὸν οὐρανόν. RV

book 70a πρὸς τὸ ὕψος ἀνέβαινε. πρὸς δένδρα καὶ τοίχους ἢ σχοινίον ταῖς χερσὶ καὶ τοῖς ποσὶν ἀνα 〈βαίνειν ἀνα〉 ρριχᾶσθαι λέγεται. φησὶ δὲ Ἐρατοσθένης Κυρηναίους οὕτω λέγειν. V

book 70b ἀναρριχᾶτ’ ἐς τὸν οὐρανόν R: τὸ ταῖς χερσὶ καὶ τοῖς ποσὶ βιαζόμενον εἰς ὕψος ἀναβαίνειν ἀναρριχᾶσθαι ἔλεγον. RV Ἑλλάνικος “ἀναρριχῶνται δὲ ὥσπερ οἱ πίθηκοι ἐπ’ ἄκρα τὰ δένδρα”. V

book 70c εἴρηται ἀπὸ τῶν ἀρρίχων, ὅ ἐστι κοφίνων, οὓς εἰώθασι διὰ σχοινίων ἀνιμᾶν. ἢ ἀπὸ τῶν ἀραχνῶν, καὶ ἔστιν οἷον ἀραχνᾶσθαι. αἱ δὲ ἀράχναι πολλάκις νήθουσι κατακτὰς ἐναερίους ὁδούς. RV

book 70d καὶ τὸ ἀναρριχᾶσθαι δὲ τοῖς Ἀττικοῖς παρὰ τὸ ἀράχνιόν ἐστι γενόμενον, ἀραχνιῶ, καὶ ἐν ὑπερθέσει τῶν στοιχείων ἀναρριχῶ τοῦ μὲν ν εἰς τὴν χώραν τοῦ ρ τεθέντος, τοῦ δὲ ⟦ι⟧ ἀμοιβαίως ⟦καὶ τοῦ ρ⟧ εἰς τὴν χώραν τοῦ ν, τοῦ δὲ χ πλησίον τοῦ ω. ταῦτα Ἡρωδιανὸς ἐν τῷ 〈ι〉 ς′ τῆς καθόλου. V

book 70e ἀνιέναι ἐπειρᾶτο εἰς τὸν οὐρανόν. ἐναργεῖ δὲ λέξει ἐχρήσατο τῷ ἀναρριχᾶται, ἐπεὶ διὰ τῶν χειρῶν δοκοῦσι μάλιστα ἀνέρχεσθαι ἐρειδόμενοι αὐταῖς καὶ ἑλισσόμενοι οἱ διὰ κλιμάκων τὴν ἄνοδον ποιούμενοι. V

book 70f ἀνερριχᾶτο: τὸ πρὸς τοίχους ἀναβαίνειν χερσὶ καὶ ποσὶν ἀναρριχᾶσθαί φασιν. γίνεται δὲ ἐκ τοῦ ἀράχνη ἀραχνιῶ, καὶ ἐν ὑπερβιβασμῷ ἀναρριχῶ. Lh

book 70g ἀνερριχᾶτ’] ἀναβαίνειν ἤρξατο. Lh

book 71 παρατετήρηται τοῦτο πολλάκις τὸ σχῆμα· οὕτω γὰρ ἐπὶ γενικῆς τάττουσιν. V

book 72 ἐκφθαρεὶς R: ἐξελθών. οὕτω δὲ ἔλεγον τὸ ἐπὶ κακῷ ἐξελθεῖν RVLh που. RV

book 73a ὑπερμεγέθη· μέγιστον γὰρ ὄρος ἡ Αἴτνη. ἢ ὅτι διάφοροι κάνθαροι ἐκεῖ εὑρίσκονται. V

book 73b αἰτναῖον κάνθαρον R: μεγάλοι λέγονται εἶναι κατὰ τὴν Αἴτνην κάνθαροι. μαρτυροῦσι δὲ οἱ ἐπιχώριοι. RV Ἐπίχαρμος ἐν Ἡρακλεῖ τῷ ἐπὶ τὸν ζωστῆρα Πυγμαρίωνι λοχαγὸς ἐκ τῶν κανθάρων τῶν μειζόνων, οὕς φασι τὴν Αἴτναν ἔχειν. τρόπον δέ τινα καὶ Αἰσχύλος ἐπιχώριος· λέγει δὲ ἐν Σισύφῳ πετροκυλιστῇ αἰτναῖός ἐστι κάνθαρος βίᾳ πόνων. Σοφοκλῆς Δαιδάλῳ ἀλλ’ οὐδὲ μὲν δὴ κάνθαρος τῶν αἰτναίων πάντων. λέγει δὲ πάντα εἰκάζων εἰς μέγαν Πλάτων ἐν Ἑορταῖς ὡς μέγα μέντοι πάλαι τὴν Αἴτνην ὄρος εἶναί φασι τεκμαίρου, ὅθεν τρέφεσθαι τὰς κανθαρίδας τῶν ἀνθρώπων λόγος ἐστὶν οὐδὲν ἐλάττους. V

book 73c ἢ ἀντὶ τοῦ “μέγαν ὡς τὴν Αἴτνην” ἢ ὅτι οἱ αἰτναῖοι ἵπποι διαβόητοι καὶ τὸν δρόμον ἀξιόλογοι καὶ τὰ ζεύγη ἐπαινετοί. καὶ Πίνδαρός φησιν ἀλλ’ ἀπὸ τῆς ἀγλαοκάρπου Σικελίας ὄχημα. V

book 73d

Eulogikon public reading copy · View original HTML at eulogikon.org

αἰτναῖον: ἢ ὅτι διάφοροι κάνθαροι εὑρίσκονται καὶ οὗτος ὑπερφέρει πάντων, ὡς ἡ Αἴτνη μέγιστος ὤν· ἢ ὅτι οἱ αἰτναῖοι ἵπποι ταχεῖς καὶ διαβόητοι πρὸς δρόμον· ἢ ὅτι μεγάλοι οἱ αἰτναῖοι κάνθαροι. Lh

book 75a ἀντὶ τοῦ "κολακεύων, πραΰνων". R

book 75b ὑποκοριστικῶς. R

book 75c πωλίον: πῶλος καὶ ἵππος. πῶλοι δὲ κυρίως τὰ γεννήματα τῶν ἵππων καὶ τῶν ἄλλων κτηνῶν, ἅπερ ἔθος ἔχομεν καταψᾶν καὶ κολακεύειν οἱ ἄνθρωποι. V

book 75d ὥσπερ πωλίον] ἤγουν πωλάριον ἵππου, ὅπερ ἔθος ἐστὶ κολακεύειν. Lh

book 75e 〈καταψῶν: καταπραΰνων.〉 Su. III 65, 10 Ald

book 75f 〈ὥσπερ πῶλον καταψῶν, ταῖς χερσὶν ὁμαλίζων.〉 Su. III 65, 11 Ald

book 76a διὰ τούτων τὴν περὶ τὸν δεσπότην πλέον ἄνοιαν καὶ μανίαν δείκνυσι τιμίῳ ἵππῳ παραβάλλοντα αὐτὸν ἀποφαινόμενος τὸν κάνθαρον. καὶ χάριν περιποιεῖ πολλὴν τῷ ποιήματι. V

book 76b alpha παρὰ τὰ ἐκ Βελλεροφόντου Εὐριπίδου. RV

book 76b beta ὦ Πηγάσιον: τὸν Βελλεροφόντην μιμεῖται. Lh

book 76b ἐκεῖνος γὰρ διὰ VLh τοῦ Lh Πηγάσου τοῦ πτερωτοῦ ἐπεθύμει εἰς VLh τὸν V οὐρανὸν ἀνελθεῖν. ἄγ' ὦ φίλον μοι Πηγάσου πτερόν. VLh

book 76c ἐκ μεταφορᾶς τοῦ Πηγάσου. R

book 79a δῆλον ὅτι ἐκ τοῦ παρακῦψαι καὶ ἰδεῖν VLh τὸ λοιπὸν V μετέωρον αἱρόμενον VLh πρὸς V τὸν δεσπότην VLh αὐτοῦ Lh ταῦτά φησιν ὡς φοβούμενος. VLh

book 79b βούλεται Lh παραγενέσθαι καὶ θεάσασθαι. VLh

book 80 μετέωρος αἴρεται: ἐπὶ μηχανῆς. τοῦτο δὲ καλεῖται αἰώρημα. ἐν αὐτῇ δὲ κατῆγον τοὺς θεοὺς καὶ τοὺς ἐν ἀέρι πολοῦντας. V

book 81a ἐπὶ τοῦ κανθάρου: ἔδειξε τὸ γελοῖον καὶ ἀπίθανον· οὐ γὰρ οἷόν τε ἱππεύειν ἐπὶ τοῦ κανθάρου. Lh

book 81b τῇ ἐπαγωγῇ τοῦ κανθάρου τὸ γελοῖον μᾶλλον ἔδειξε καὶ τὸ ἀπίθανον ἤλεγξεν· οὐ γὰρ οἷόν τε ἱππεύειν ἐπὶ κανθάρου. V

book 82a διπλῆ καὶ εἴσθεσις εἰς περίοδον ἀναπαιστικὴν τῶν ὑποκριτῶν Τρυγαίου καὶ τοῦ οἰκέτου ἐννεακαιτριακοντάμετρον εἴκοσι κώλων, ὅτι ἔχει μονόμετρον τὸ δέκατον. V

book 82b 〈ἥσυχος: τὰ ἑξῆς ιθʹ κῶλα ἀναπαιστικά, πλὴν τοῦ ιʹ δίμετρα ἀκατάληκτα. ἐπὶ τῷ τέλει παράγραφος.〉 Ald

book 82c σύστημα κατὰ περικοπὴν ἀνομοιομερές. Lh

book 82d ※ Lh

book 82e ἥσυχος, ἥσυχος R: ἀναγκαίως αὐτῷ παραινεῖ μὴ διώκειν εὐθὺς ἀπ' ἀρχῆς τὰ μετέωρα τῶν ἀερίων, ἀλλ' ἱδρώσαντα πρῶτον, ἵνα τὸ πυρῶδες κατάστημα τοῦ αἰθέρος ὑπομεῖναι δυνηθῇ τῇ νοτίδι παραμυθούμενος. RV

book 82f ἀτρέμα μοι πέτου, ὦ κάνθων. V

book 82g alpha ἐπιβεβηκὼς τῷ κανθάρῳ τοῦτο λέγει. R

book 82g beta 〈τοῦτο λέγει ἐπιβεβηκὼς ἤδη ὁ Τρυγαῖος τῷ κανθάρῳ καὶ μετέωρος ἀρθείς.〉 Ald

book 82h ὡς δεδιώς. V

book 82i

ἥσυχος, ἥσυχος: ὁ Τρυγαῖος ἐπιβεβηκὼς τῷ κανθάρῳ ταῦτά φησι δεδιὼς ἤδη μετέωρος ἀρθείς· ἀτρέμα μοι πέτου, ὦ κάνθαρε. Lh

book 82j ὁ Τρυγαῖός ἐστιν ἔνδοθεν ταῦτα λέγων καὶ παρακελευόμενος ἐπιβεβηκὼς ἤδη τῷ κανθάρῳ καὶ μετέωρος ἀρθείς, ὥσπερ εὐλαβούμενος, μὴ ἐξαρπάσῃ αὐτόν. καὶ τοῦτο δὲ γελοίου χάριν παρείληπται τῷ ποιητῇ. V

book 82k ἠρέμα κάνθων R: κάνθαρος λέγεται παρὰ τὸν κάνθωνα, τουτέστι τὸν ὄνον, καὶ παρὰ τὸν ὀρόν, τουτέστι τὸ σπέρμα. φασὶ γάρ, ὅτι ὁ κάνθαρος οὕτω τίκτεται· ἐπὰν εὕρῃ ὄνου κόπρον στρογγύλην, μένει κυλίων τοῖς ποσὶν RVLh αὐτήν Lh, καὶ ἐν τῷ κυλίειν ἀποσπερμαίνει, καὶ ἐκ τούτου ὁ κάνθαρος RVLh τὸ ζῷον RV γίνεται. RVLh ὅθεν καὶ τὴν ὀνομασίαν ἔχει· παρὰ τὸν κάνθωνα, τὸν ὄνον, καὶ παρὰ τὸν ὀρόν, τὸ σπέρμα, κάνθορός τις ὤν. ἢ παρὰ τὸν θορόν, ὃ δηλοῖ τὸ σπέρμα. ἢ ὁ θορὼν περὶ τὸν κάνθωνα ἀντὶ τοῦ “περὶ τὴν κόπρον τοῦ ὄνου”. ἢ ἐκ τοῦ κάνθωνος ὀρούων. V

book 82l κάνθωνας ἔλεγον τοὺς ὄνους· νῦν δὲ ἔπαιξε τὸ “κάνθων” παρὰ τὸν κάνθαρον. V

book 82m κάνθων κυρίως ὁ ὄνος, νῦν δὲ ὑποκοριστικῶς “ὦ κάνθαρε”. VLh

book 83a alpha σοβαρῶς: μὴ ἄγαν σπουδαίως πέτου. R

book 83a beta μή μοι σοβαρῶς Lh: μὴ ἐκθύμως ἄγαν μηδὲ σπουδαίως. VLh

book 83b τὰ τῶν ἵππων πλεονεκτήματα περιτίθησι τῷ κανθάρῳ(·) VLh

book 83b alpha ἁβρύνεσθαι γὰρ καὶ γαυριᾶν 〈ἀπαγορεύει〉 αὐτόν, V

book 83b beta γαυριᾶν αὐτὸν καὶ σοβαρῶς χωρεῖν λέγων, Lh

book 83b ὃ μάλιστα τοῖς καλλιστεύουσι τῶν ἵππων ἔθος VLh ποιεῖν. Lh

book 83c Ὅμηρος· ὡς δ’ ὅτε 〈...〉 ἵππος ἀκοστήσας ἐπὶ φάτνῃ καὶ κυδιόων, ὑψοῦ δὲ κάρη ἔχει. οὕτως οἱ σοβαροὶ θέουσιν ἵπποι. V

book 83d τοῦτο VLh ὡς ἱππικῆς ἔμπειρος RVLh ποιεῖ· Lh οὐ βούλεται RVLh γὰρ Lh αὐτὸν ἀθρόως διαδραμεῖν. RVLh

book 83e σεσοβημένος βαρέως. VLh καὶ ἐν Νεφέλαις ἐπὶ τοῦ κεραυνοῦ σοβαρῶς χωρεῖ διὰ τὴν πυκνότητα. V

book 84 τὸ “εὐθὺς ἀπ’ ἀρχῆς” λέγει. R

book 85 πρὶν ἂν ἰδίῃς RLh: ἀντὶ τοῦ R “πρὶν RVLh ἂν Lh ἱδρώσῃς”. RVLh Ὅμηρος· ἴδιον ὡς ἐνόησα, καὶ τὸ “καῦμα ἰδάλιμον”, ἱδρῶτος παρασκευαστικόν. V

book 85alpha οἱ γὰρ ἵπποι ἐν μὲν τῇ ἀρχῇ οὔκ εἰσιν ὀξεῖς ἐν τῷ δρόμῳ, καμόντες δὲ καὶ ἱδρώσαντες διαλυθέντων τῶν μελῶν ὀξύτεροι γίνονται. RV

book 85beta οἱ γὰρ ἵπποι, οἳ οὔκ εἰσιν ὀξεῖς εἰς τὸν δρόμον ἐν τῇ ἀρχῇ, καμόντες καὶ ἱδρώσαντες ὀξύτεροι γίνονται. Lh

book 86 ἶνας] τὰς φλέβας. Lh

book 87a καὶ μὴ πνεῖ μοι κακόν: μὴ βδέσῃς. R

book 87b ἐκ γὰρ τῆς ἀναπνοῆς καὶ τοῦ ἱδρῶτος ἡ δυσωδία μᾶλλον ηὔξετο τοῦ κανθάρου. RV

book 87c δῆλον ὅτι καὶ αὐτὸ πρὸς τὰς τροφὰς αἰνίττεται. V

book 90 ὦ δέσποτ’ ἄναξ RLh: διὰ τὸ μετάρσιον αὐτὸν ἦρθαι καὶ προσδοκᾶν ἐπιβήσεσθαι τοῦ οὐρανοῦ θειοτέρᾳ αὐτὸν ἐτίμησε φωνῇ ἄνακτα εἰπών. RVLh

book 91 τοῦτο ἔστι τὸ δέκατον μονόμετρον. VC

book 92a

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ποῖ δῆτ’ ἄλλως R μετεωροκοπεῖς C: ποῦ δὴ VC περὶ τὰ μετέωρα πέτῃ, καὶ μάτην καὶ ὡς ἔτυχε κάμνεις; μετεωροκοπεῖν δέ ἐστι κυρίως τὸ τῷ πλάτει τῆς κώπης ματαίως τὴν θάλατταν τύπτειν. RVC ἔφη δὲ καὶ ἐν ταῖς Νεφέλαις μετεωρολέσχας τοὺς φιλοσόφους, ὅτι τὰ οὐράνια περινοοῦσιν. V

book 92b μετενήνεκται ἡ λέξις παρὰ τὸ “τί θαλασσοκοπεῖς καὶ πτερυγίζεις καὶ ἐντεῦθεν;” V

book 94 μηχανησάμενος VLh καὶ ἐγχειρήσας. ἀπὸ τῆς παλάμης, ᾗ τὰ πολλὰ κατασκευάζομεν. V

book 95 τί πέτῃ RLh: παρὰ προσδοκίαν, ὡσανεὶ ἔλεγε “τί κάμνεις;” ἀπὸ κοινοῦ δὲ τὸ “μάτην”, ἵνα ᾖ “τί μάτην πέτῃ;” RVLh

book 96 φλαῦρον: ἀντὶ τοῦ R “φλύαρον, ἀηδές, δύσφημον”. RVLh

book 97a ἀλλ’ ὀλολύζειν R: τὸ RV μετὰ κραυγῆς εὔχεσθαι. RVLh Ὅμηρος· αἱ δ’ ὀλόλυξαν. RV

book 97b ἀλλ’ εὔχεσθαι. καὶ Εὐριπίδης Ἐρεχθεῖ· ὀλολύζετ’, ὦ γυναῖκες, ὡς ἐλέχθη θεᾷ ἡ χρυσὸν ἔχουσα γοργόνα ἐπίκουρος πόλει. V

book 99 καὶ τὰς λαύρας R: λαύρας RVLh ἐκάλουν VLh τὰς στενὰς ῥύμας, ἔνθα πᾶσα ἀκαθαρσία ἐστίν. RVLh

book 99alpha ἢ τοὺς ῥυπαροὺς τόπους. ἀποφράξαι οὖν παρακελεύεται καὶ πάντας τοὺς κοπρῶνας, ἵνα μὴ προσπνέοντα ἐρεθίσωσι τὸν κάνθαρον. μετέωρος δὲ ὢν ἐπὶ τοῦ κανθάρου ταῦτά φησιν. RV

book 99beta τοὺς ῥυπαροὺς οὖν τόπους ἀποφράξαι παρακελεύεται καὶ τοὺς κοπρῶνας, ἵνα μὴ ἐρεθίσωσι τὸν κάνθαρον καὶ κατασπάσωσι κάτω δυσωδίαν πνέοντα. μετέωρος δὲ ὢν ἐπὶ τοῦ κανθάρου λέγει ταῦτα. Lh

book 101 —˙ Ald

book 102a alpha οὐκ ἔσθ’ ὅπως: ἡ εἴσθεσις τοῦ παρόντος συστήματος στίχων ἐστὶν ἰαμβικῶν τριμέτρων ἀκαταλήκτων ιβʹ. ἐπὶ τῷ τέλει παράγραφος. Lh

book 102a beta 〈οὐκ ἔσθ’ ὅπως: τὰ ἑξῆς ιβʹ ἰαμ〈βεῖα〉, ὧν ἐπὶ τῷ τέλει παράγραφος.〉 Ald

book 102b σύστημα ἕτερον. Lh

book 107a γράψομαι RLh: ἀντὶ τοῦ R “κατηγορήσω”. RVLhbis παίζει δὲ διὰ τὸ φιλόδικον τῶν Ἀθηναίων λέγων· καὶ τοῦ Διὸς κατηγορήσω ὡς προδιδόντος τὴν Ἑλλάδα τοῖς Πέρσαις. τοῦτο δὲ λέγει, ὅτι Λακεδαιμονίοις ἐβοήθουν οἱ Πέρσαι ἐν τῷ πολέμῳ RVLh τῷ πελοποννησιακῷ. VLh

book 107b ταῦτα ἂν εἴη RV λέγων V διὰ τοὺς αὐτομολοῦντας τῷ Μήδῳ καὶ ἀπαγγέλλοντας τὰ τῶν Ἀθηναίων πράγματα· οὓς καὶ λαμβάνοντες ἐκόλαζον. RV

book 108 Μήδοισιν αὐτὸν Lh: λεληθότως VLh καὶ Lh τῶν Ἑλλήνων καθάπτεται ὡς συνορώντων μὲν τὴν βλάβην καὶ ὅτι ὑπὲρ τῶν πολεμίων 〈ὁ πόλεμοσ〉 ἐστίν, διαφθείρεσθαι δὲ αὑτοὺς ἐώντων. ἄλλως τε καὶ φοβεῖν αὐτοὺς βούλεται δεικνύς, ὅτι ἐφεδρεύοντας ἔχουσι πολεμίους τοὺς βαρβάρους. VLh ⟦καὶ ὅτιπερ μετὰ πολλῶν χρημάτων καὶ πόνων ποιεῖν ἐκείνους ἔδει, ὥστε ἐμβαλεῖν εἰς φιλονεικίαν καὶ διάστασιν τὸ ἑλληνικόν, ταῦτα ἐπ’ οὐδενὶ κέρδει ποιοῦσιν ἑαυτοῖς. ἃ γὰρ ὑπὲρ τῶν πολεμίων πράττεται, ταῦτα οὐκ ἄδηλον ὅτι κατὰ τῶν πραττόντων γίνεται.⟧ V

book 109 οὐδέποτε ζῶντος ἐμοῦ] οὔτε πορεύσῃ VLh οὔτε γράψῃ. Lh

book 110 οὐκ ἔστι παρὰ ταῦτ’ ἄλλα R: οὐκ ἔστιν ἄλλως γενέσθαι ἢ ἀνελθεῖν εἰς RLh τὸν R οὐρανόν. RLh

book 111 〈ἀπέρχεται: δηλονότι ἀπέπτη.〉 Ald

book 113a 〈ὁ οἰκέτης πρὸς τοὺς παῖδας ἐκείνου λέγει, πῶς καὶ αὐτοὶ δυνηθεῖεν πεῖσαι τὸν πατέρα μὴ ἀναπτῆναι.〉 Ald

book 113b

Eulogikon public reading copy · View original HTML at eulogikon.org

—˙ Lh

book 114a διπλῆ καὶ εἴσθεσις εἰς περίοδον. ἔστι δὲ τετράκωλον, καὶ ἕκαστον δακτυλικόν, τὸ μὲν πρῶτον καὶ δεύτερον καταληκτικόν, τὸ δὲ τρίτον καὶ τέταρτον ἀκατάληκτον. ἀναπαιστικὸν δὲ αὐτὸ οὔ φαμεν, ἐπεὶ ἀπό τινος τύχης οὐδὲ ἀνάπαιστον ἔσχεν, ἀλλὰ πάντας δακτύλους πλὴν τριῶν συλλαβῶν. Vbis

book 114b ὦ πάτερ LhAld ὦ πάτερ Lh: σύστημα ἕτερον εἰς δύο διῃρημένον περιόδους. καὶ εἰσὶ τῆς μὲν πρώτης περιόδου δακτυλικὰ τετράμετρα δ′, καὶ ἐν ἐκθέσει LhAld

book 114b alpha στίχος ὅμοιος ἑξάμετρος· τῆς δὲ β′ στίχοι ὅμοιοι δακτυλικοὶ ἑξάμετροι, οἳ καλοῦνται ἔπη, ε′. Lh

book 114b beta 〈ἐπικὸν ἕν, μεθ’ ὃ τὰ τῆς δευτέρας περιόδου ὅμοια πέντε.〉 Ald

book 114b ἐπὶ ταῖς ἀποθέσεσι παράγραφος. LhAld

book 114c σύστημα ἕτερον ἀνομοιομερές. Lh

book 114d ὦ πάτερ RLh ὦ πάτερ R: τὰ τοιαῦτα παραχορηγήματα καλοῦσιν, οἷα νῦν τὰ παιδία ποιεῖ καλοῦντα τὸν πατέρα, εἶτα πρὸς οὐδὲν RVLh ἔτι VLh τούτοις χρήσεται. RVLh.

book 114e ἦ ῥ’ ἔτυμός γε: εἴρηται παρὰ τὰ ἐξ Αἰόλου Εὐριπίδου ἆρ’ ἔτυμόν γε φάτιν εὗρον RV Αἴολος V εὐνάζειν τέκνα φίλτατα. RV

book 114f ※ Lh

book 117a alpha ἐς κόρακας R: ἀντὶ τοῦ “μετὰ τῶν ὀρνέων”. ἅμα δὲ καὶ ἐφ’ ὕβρει· ἐδόκει γὰρ ἀνωφελῶς ἀπιέναι, ὥσπερ οἱ εἰς τὸ σκότος ἀπιόντες. RV

book 117a beta ἐς κόρακας: δέον εἰπεῖν “εἰς οὐρανόν” ὁ δὲ ἀντὶ τοῦ “μετὰ ὀρνέων” εἶπεν. ἅμα δὲ καὶ ἐφ’ ὕβρει· ἐδόκει γὰρ ἀνωφελῶς ἀπιέναι, ὥσπερ οἱ εἰς τὸ σκότος ἀπιόντες. Lh

book 117b alpha δέον εἰπεῖν “εἰς οὐρανόν”. R

book 117c πολλάκις εἴπομεν, 〈ἐπὶ τίνοσ〉 “εἰς κόρακας” ἔλεγον οἱ παλαιοί, καὶ τὴν ἐπὶ τούτῳ ἱστορίαν διηγησάμενοι. V

book 117d ἀστείως, ἐπειδὴ δοκεῖ νῦν ἀναπτήσεσθαι αὐτός. V

book 117e γελοίως, ἐπειδὴ ἤμελλεν εἰς τοὺς ὄρνιθας πορεύεσθαι. RV

book 117f μεταμώνιος: ματαίως, πρὸς οὐδὲν χρήσιμον. R

book 117g τὸ “μεταμώνιος” οἱ μὲν ἐξεδέξαντο “ματαίως καὶ πρὸς οὐδὲν χρήσιμον”, οἱ δέ φασιν ἰδίως μεταμώνιον τὸ αἰωρηθὲν μετέωρον σημαίνειν πιστούμενοι τοῦτο παρὰ Σιμωνίδου οὕτως εἰπόντος κονία δὲ παρὰ τροχὸν μεταμώνιος ἠέρθη. V

book 118 —˙ Ald

book 119a δοξάσαι ἔστι R: καὶ τοῦτο πρὸς τὸ ἐξ Αἰόλου Εὐριπίδου ἔπος δοξάσαι ἔστι, κόραι· τὸ δ’ ἐτήτυμον οὐκ ἔχω εἰπεῖν. RV

book 119b δοξάσαι: ἀντὶ τοῦ “ὑπονοῆσαι, εἰκάσαι”. RV

book 119c πρὸς τὴν ὑπόνοιαν ἐπήγαγεν. R

book 121a ἔνδον δ’ ἀργυρίου R: μηδὲ ὀβολοῦ ὄντος ἡμῖν διὰ τὸν πόλεμον. RVLh γεωργὸς γάρ ἐστι· διὸ καὶ τῇ ψακάδι ἁρμοδίως ἐχρήσατο. RV

book 121b μηδὲ Lh ψακὰς RLh ἢ R: ψακὰς Lh τὸ σμικρότατον, ὃ καὶ νιφὰς καλεῖται. RVLh

book 123a κολλύραν Lh: κολλύρα RV τὸ ἔλαττον τοῦ ἄρτου. RVLh τινὲς δὲ τὴν κολλύραν εἶδος ἄρτου φασίν, Lh ὃ τοῖς παιδίοις διδόασιν. VLh

book 123b alpha καὶ πρὸς τῇ κολλύρᾳ ἀντὶ τοῦ ὄψου κόνδυλον. ἔπαιξε δὲ παρὰ τὸ λεγόμενον. V

book 123c alpha

κολλύραν μεγάλην R: φαίνεται 〈αἰνίττεσθαι〉 τὸ ἐπὶ τῶν παιδίων λεγόμενον ἀρχαῖον ὄν ἢν δ᾽ οἶνον αἰτῇ, κονδύλους αὐτῷ δίδου ὑπὲρ τοῦ ἐθίζειν τοὺς παῖδας μηδέν τι περιττὸν αἰτεῖν. RV

book 123bc beta ἔπαιξε παρὰ τὸ λεγόμενον εἰ δὲ οἶνον αἰτεῖ, κόνδυλον αὐτῷ δός ὑπὲρ τοῦ ἐθίζειν τοὺς παῖδας μηδέν τι περιττὸν ζητεῖν. Lh

book 123d καὶ κόνδυλον R: Δημήτριος ὁ ζηνοδότειος μεταγράφει "κάνδυλον"· V εἶδος δέ ἐστι πλακοῦντος. ἀλλὰ διὰ τὸ "ὄψον" περιττὴ ἡ μεταγραφή. RV

book 123e —̇ Ald

book 124a καὶ τίς πόρος σοι τῆς ὁδοῦ γενήσεται: διπλῆ καὶ εἴσθεσις 〈εἰσ〉 στίχους ἰαμβικοὺς τριμέτρους ἀκαταλήκτους κε′. V

book 124b καὶ τίς πόρος σοι: εἴσθεσις διπλῆς ἀμοιβαίας (.) LhAld

book 124b alpha οἱ δὲ στίχοι εἰσὶν ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι λ′, ὧν τελευταῖος κατωκάρα ῥίψας με βουκολήσεται. ἐπὶ τῷ τέλει διπλῆ ἔξω νενευκυῖα. Lh

book 124b beta 〈ἰαμβείων λ′ διπλῆ ἔξω νενευκυίᾳ περατουμένων.〉 Ald

book 124c πόρος: ἀντὶ τοῦ "διάβασις". R

book 125 ναῦς μὲν γὰρ: ἀμηχανοῦμεν, φησίν, ἐνθυμούμεναι, πῶς εἰς οὐρανὸν παραγενήσῃ. RAld 〈οὐ γὰρ νεὼς ἐπιβὰς εἰς οὐρανὸν ἀνέλθῃς.〉 Ald

book 126a ὁ λόγος ἐκ Σθενεβοίας Εὐριπίδου. τινὲς δὲ οἴονται ἐκ Βελλεροφόντου παρῳδῆσθαι. ἔστι δὲ ἐν τῇ Σθενεβοίᾳ παρὰ τῷ τραγικῷ οὕτως· πέλας δὲ ταύτης δεινὸς ἵδρυται κράτος ἔνθηρος ἢ λῃστὴς φρουρεῖται κλυδῶνι δεινῷ καὶ βροτὸς τόνῳ βρέμει πτηνὸς πορεύγει. V

book 126b πτηνὸς] λέγεται καὶ πετεινὸν καὶ πτηνόν. VLh

book 126c πῶλος] ἤγουν ὁ κάνθαρος. Lh

book 126d διχῶς ἡ ἀνάγνωσις, ἢ ἀρνητικῶς "οὐ πλεύσομαι", ἢ οὕτω· "ποῦ δὲ περαιωθήσομαι;" RV

book 126e οὐ ναυσθλώσομαι R: οὐ νεὼς ἐπιβήσομαι. κυρίως δὲ τὸ ναῦν μισθώσασθαι. RLh

book 126f ὡς εἰς ναῦν. V

book 129alpha τοῦ μυθοποιοῦ. φέρεται γὰρ αὐτοῦ μῦθος ἐχθρεῦσαι ἀετὸν καὶ κάνθαρον ἐκ τοῦ ἑκάτερον αὐτῶν θατέρου τὰ ᾠὰ διασπᾶν. V

book 130alpha μόνος πετεινῶν R: ὁ λόγος τοιοῦτός ἐστιν. ἁρπάζοντος τοῦ ἀετοῦ τοὺς νεοττοὺς τοὺς τοῦ κανθάρου ⟦καὶ⟧ ὁ κάνθαρος τὰ ᾠὰ τοῦ ἀετοῦ ἐκκλέψας ἐξεκύλισεν ἕως τοσούτου, ἕως ἦλθε πρὸς τὸν Δία. κατηγοροῦντος δὲ τοῦ ἀετοῦ προσέταξεν ὁ Ζεὺς τῷ ἀετῷ ἐν τῷ αὐτοῦ RV τοῦ Διὸς V κόλπῳ νεοττεύειν. ἐπειδὴ δὲ τὰ ᾠὰ εἶχεν ὁ Ζεύς, περιίπτατο τὸν Δία ὁ κάνθαρος. ὁ δὲ ἐκλαθόμενος ἀνέστη ὡς σοβήσων ἐκ τῆς κεφαλῆς αὐτὸν καὶ κατέαξε τὰ ᾠά. ὁ δὲ λόγος πρὸς ἀδίκους ἐστίν, ὅτι οὐδεμία ἐστὶν αὐτοῖς ἀσφάλεια, οὐδ᾽, ἂν εἰς τὸν κόλπον τοῦ Διὸς καταφύγωσι, διαφεύξονται τὴν τιμωρίαν. RV

book 129/130beta μῦθος. ἐν τοῖς λόγοις Αἰσώπου φέρεται ἐχθρεῦσαι ἀετὸν καὶ κάνθαρον. ὁ μὲν γὰρ ἁρπάζων ἦν τοὺς νεοττοὺς τοῦ κανθάρου, ὁ δὲ τὰ ᾠὰ τοῦ ἀετοῦ ἐκκυλίων συνέτριβεν. ὁρῶν οὖν εἰς φθορὰν αὐτοῦ τὸ γένος ἐρχόμενον ἄνεισι πρὸς τὸν Δία καὶ λέγει τὴν συμφοράν. ὁ δὲ τὸν αὐτοῦ οἰκτείρας ὄρνιν ἐπὶ τὸν αὐτοῦ κόλπον νεοττεύειν ἐκέλευσε· καὶ ἦν ἔχων ἐν τοῖς κόλποις ὁ Ζεὺς τὰ ᾠά. τοῦτο μαθὼν ὁ κάνθαρος εἰς οὐρανοὺς ἄνεισι καὶ πρὸς τῇ τοῦ Διὸς ἀνέρχεται κεφαλῇ. ὁ δὲ εὐθὺς ἀναπηδήσας τοῦ θρόνου τὸν κάνθαρον ἀποτινάξασθαι θέλων ἔλαθε τὰ ᾠὰ συντρίψας τοῦ ἀετοῦ. Lh

book 134a 〈ὤ᾽: τὸ πλῆρες ὠά.〉 Ald

book 134b

Eulogikon public reading copy · View original HTML at eulogikon.org

κἀντιτιμωρούμενος Lh: ὁ κάνθαρος VLhbis δηλονότι· Lh πρῶτος γὰρ ὁ ἀετὸς ἠδίκησεν αὐτὸν φαγὼν τὰ νοσσία. VLh

book 136 τραγικώτερος R: πρακτικώτερος V ἢ ἀξιοπιστότερος, RVLh ἢ ἀτυχέστερος. R αἰνίττεται εἰς τὸν Πήγασον καὶ τὸν Βελλεροφόντην Εὐριπίδου. RVLh

book 137 δυϊκῶς λέγει πρὸς RV ἄμφω V τὰ παιδία. RV τοῦτο δὲ λέγει· ὅτι εἰ εἶχον τὸν Πήγασον, δύο τροφῶν εἶχον φροντίζειν, τῆς τε ἐκείνου καὶ τῆς ἐμῆς. τὰ γὰρ ἐμὰ ἀφοδεύματα ἐσθίων τρέφεται ὁ κάνθαρος. V.

book 141a ἐξολισθεῖν: πῶς διανήξασθαι δυνήσεται; Lh ἐπεὶ τὰ πλεῖστα τῶν ὀρνέων ἐμπεσόντα εἰς ὕδωρ ἐκνήχεσθαι οὐ δύναται. RVLh διὰ τοῦτο καὶ τὰ πλεῖστα οὐ κολυμβᾷ. V

book 141b alpha τοὺς τραγικοὺς παίζει διὰ τὰ περὶ Ἰκάρου λεγόμενα. V

book 141b beta διαβάλλει τὰ περὶ Ἰκάρου παρὰ τῶν τραγικῶν λεγόμενα. Lh

book 141b ἢ ἐπεὶ δοκεῖ ὁ Βελλεροφόντης τὴν τοῦ Προίτου γυναῖκα μετὰ τὴν τῆς Χιμαίρας ἀναίρεσιν ἐπανελθὼν εἰς Κόρινθον ἀπατῆσαι ὡς ἕξων γυναῖκα, καὶ ἐπιβιβάσας τοῦ Πηγάσου εἰς μέσην ῥῖψαι τὴν θάλασσαν. V

book 142 τὸ αἰδοῖον δείκνυσι παίζων. RVLh πηδάλιον δέ ἐστι RV κυρίως V τὸ νῦν καλούμενον αὐχένιον. RV

book 143a ναξιουργὴς κάνθαρος Lh: στοχάσασθαι ἔστιν οὐδὲν πλέον ἢ ὅτι V πλοῖα ἦν οὕτω λεγόμενα, κάνθαροι, ἐν Νάξῳ VLh νήσῳ Lh γινόμενα, VLh—ὡς νῦν σίλφας τινὰ λέγουσιν ἀκατίων εἴδη, ἀλλὰ καὶ συνμικὸν τρόπος τρόπῶν φησὶν ὁ Κρατῖνος—καὶ ὅτι θαλασσοκρατοῦντές ποτε Νάξιοι ἐχρῶντο αὐτοῖς τοῖς κανθάροις ἐπὶ πλέον. μᾶλλον δὲ οὕτω δεκτέον· κάνθαρον μὲν πρὸς τὰ προκείμενα εἴρηκεν. τὸ δὲ "ναξιουργής" οὕτως· τῶν γὰρ πλοίων τὰς εὐρίπας τὰς ἀρχιτεκτονικὰς ἐκάλουν οἱ πρότεροι ἐπωνύμους, οἷον τοὺς νῦν λέμβους ναξιουργεῖς ὠνόμαζον, V

book 143a alpha —ἐκ τοῦ αὐτοῦ δὲ εἴδους καὶ τὸ κνιδιουργεῖς—V

book 143a beta λέγει δὲ καὶ κνιδουργεῖς ἄλλας ναῦς ἀπὸ Κνίδου Lh

book 143a καὶ τὸν κέρκυρον ἀπὸ Κερκύρας καὶ τὸν πάρωνα ἀπὸ Πάρου. VLh ἄντικρυς δὲ Μένανδρος ἐν Ναυκλήρῳ κάνθαρον εἶπε πλοῖον εἶναι. ἔστι δὲ 〈καὶ〉 εἶδος ποτηρίου. V

book 143b εἶδος πλοίου ὁ κάνθαρος, ὡς αἱ τριήρεις. διὰ τούτων δὲ βούλεται δεῖξαι, ὡς πανταχοῦ χρειώδης αὐτῷ ὁ κάνθαρος. RV

book 145a μέρος τοῦ Πειραιῶς, ὡς Καλλικράτης φησὶν ἢ Μενεκλῆς ἐν τῷ περὶ Ἀθηνῶν γράφων οὕτως· V "ἔχει δὲ ὁ Πειραιεὺς λιμένας τρεῖς, RVLh πάντας κλειστούς. VLh εἷς μέν ἐστιν ὁ Κανθάρου λιμὴν RVLh οὕτω Lh καλούμενος RVLh ἀπό τινος ἥρωος Κανθάρου, Lh ἐν ᾧ τὰ νεώρια ἑξήκοντα, εἶτα 〈τὸ〉 Ἀφροδίσιον, εἶτα κύκλῳ τοῦ λιμένος στοαὶ πέντε". RVLh

book 145b alpha Κανθάρου λιμήν: ἀπὸ Κανθάρου ἐπιχωρίου ἥρωος οὕτω λιμὴν ἐκαλεῖτο ἐν τῷ Πειραιεῖ. R

book 145b beta μήποτε ὅπου ἡ τῶν τοιούτων πλοίων στάσις ἦν, οὕτως ἐκράτησε καλεῖσθαι. τῷ ὄντι γάρ ἐστιν ἐν τῇ Ἀττικῇ κώμη λεγομένη οὕτως, Κανθάρου λιμήν, οὐχὶ Κάνθαρος, ὡς Φιλόχορος ἱστορεῖ, ἀπὸ ἥρωος ἐπιχωρίου τινός. οἰκείως δὲ τούτου ἐμνημόνευσε—καίτοι πλέονας λιμένας ἔχοντος τοῦ Πειραιῶς—διὰ τὸ ζῷον, ᾧ ἐπωχεῖτο. V

book 147a alpha χωλὸς ὤν: διό 〈τι〉 δρᾶμά ἐστιν Εὐριπίδου Βελλεροφόντης, R

book 147a beta τοῦτο πρὸς Εὐριπίδην ἀποτείνεται, ἐπειδὴ ἐκεῖνος δρᾶμα ἐποίησε τὸν Βελλεροφόντην, V

book 147a ἐν ᾧ χωλὸν εἰσήγαγεν αὐτὸν διὰ τὸ πεπτωκέναι ἀπὸ τοῦ Πηγάσου βουλόμενον εἰς οὐρανὸν ἀνελθεῖν. δεῖ σε οὖν, φησί, προσέχειν μὴ πεσὼν διαθραυσθῇς καὶ γένῃ τραγῳδία. RV

book 147b εἶτα χωλὸς ὢν: δεῖ σε, φησί, μὴ πεσεῖν προσέχειν, ὅπως μὴ διαθραυσθῇς καὶ γένῃ τραγῳδία. ἀποτείνει δὲ πρὸς Εὐριπίδην, ὃς ἐν δράματι χωλὸν εἰσάγει τὸν Βελλεροφόντην διὰ τὸ πεπτωκέναι ἀπὸ τοῦ Πηγάσου. Lh

book 148 λόγος ἡ ὑπόθεσις. λέγει δὲ περὶ Φιλοκτήτου RV καὶ Βελλεροφόντου. V κωμῳδεῖ δὲ τὸν Εὐριπίδην ὡς χωλοποιόν. RV

book 150 150] πρὸς τοὺς θεατάς. Vbis

book 151 μὴ βδεῖτε R: διασύρων τὴν ὅλην τοῦ κανθάρου πραγματείαν τοῦτό φησιν. ποῖαι γὰρ ῥῖνές εἰσι κανθάρῳ, ἵνα καὶ ὀσφρανθῶσιν; RV

book 153a κατωκάρα RLh: ὅτι V τὸ ἐπὶ RVLh τῆς V κεφαλῆς πεσεῖν οὕτω λέγουσιν Ἀττικοί, RVLh οὐ διῃρημένως, ἀλλ' V ὑφ' ἓν RVLh γράφοντες. R Πίνδαρος οἱ μὲν κατωκάρα δεσμοῖσι δέδενται. V

book 153b ἐπίρρημά ἐστι σύνθετον, καὶ σὺν τῷ ι γράφει Ἡρωδιανός. V

book 153c οἷ〈ον〉 τὴν κεφαλὴν κάτω ποιήσας ῥίψει με βου〈κο〉ληθεὶς καὶ δελεασθεὶς τῇ ὀδωδῇ τῶν ἀποπατημάτων. V

book 153d τοῦτο ἀπὸ τῶν ἵππων εἴληπται· πολλοὶ γὰρ αὐτῶν τὸν τρόπον τοῦτον εἰώθασι ποιεῖν, ἀποσείεσθαι τοὺς ἐπιβάτας. V

book 153e κατωκάρα] κατωφερῶς. Lh

book 153f ἀντὶ τοῦ “νεμηθήσεται, τραφήσεται”. R

book 153g > Lh

book 154a διπλῆ 〈καὶ〉 εἴσθεσις εἰς περίοδον ἀναπαιστικὴν τοῦ πρεσβύτου ὀκτωκαιτριακοντάμετρος ιθ′ κώλων. V

book 154b alpha ἀλλ' ἄγε Πήγασε: ἡ ἔκθεσις τῆς διπλῆς κώλων ἐστὶν ἀναπαιστικῶν ιθ′· εἴρηται γάρ, ὅτι καὶ ἑτέρῳ μέτρῳ τὰς ἐκθέσεις ποιοῦσιν. εἰσὶν οὖν τὰ μὲν ιη′ δίμετρα ἀκατάληκτα, τὸ δὲ ιθ′ δίμετρον καταληκτικὸν ἤτοι ἑφθημιμερὲς παροιμιακόν. ἐπὶ τῷ τέλει δύο διπλαῖ ἔξω νενευκυῖαι, ἡ μὲν ἐν ἀρχῇ τοῦ κώλου, ἡ δὲ κατὰ τὸ τέλος. ἐν εἰσθέσει δὲ στίχοι ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι ζ′. ἐπὶ τῷ τέλει παράγραφος. Lh

book 154b beta 〈ἔκθεσις τῆς διπλῆς ἐκ στίχων ἀναπαιστικῶν διμέτρων ἀκαταλήκτων πλὴν τοῦ τελευταίου· τοῦτο γὰρ ἑφθημιμερές. ὑφ' ὃ αἱ συνήθεις δύο διπλαῖ. ἐν εἰσθέσει δὲ ἰαμβεῖα ζ′. ἐπὶ τῷ τέλει κορωνίς.〉 Ald

book 154c ἀλλ' ἄγε Πήγασε Lh: μετὰ τὸ παρακελεύσασθαι τῷ ὄχλῳ καὶ τοῖς ἑαυτοῦ παιδίοις κατὰ μηδὲν ἐρεθίσαι τὸν κάνθαρον, VLh τότε V παρακελεύεται VLh καὶ Lh αὐτῷ. VLh

book 154d καὶ τάδε ἐκ τοῦ Βελλεροφόντου ἴθι χρυσεοχάλινε αἶρων πτέρυγας τὸν κάνθαρον τῷ Πηγάσῳ ἀπεικάζων. V

book 154e ※ Lh

book 155 ψαλίων] στομίων, χαλινῶν. R

book 156 φαιδροῖς ὠσὶ: πραέσι, μὴ ὀρθοῖς. τοῦτο γὰρ πάσχουσιν οἱ ἵπποι ὥσπερ παροξυνόμενοι εἰς ἄκρατον δρόμον. Lh

book 158 λαύρας] ῥύμας, 〈ῥυπαροὺσ〉 τόπους. R

book 162 ἀπὸ μὲν R κάκκης RLh: ἀντὶ τοῦ “κακίας”. RVLh ἔχει καὶ τὸ κακέμφατον. παρατηρητέον δέ, ὅτι καὶ RV οἱ ἀρχαῖοι τὴν ἀκαθαρσίαν κάκκην καλοῦσι, καὶ μάλιστα τὸ δύσοσμον ἀποπάτημα. RVLh

book 163 ἀπό θ' ἡμεριῶν R: ἀντὶ τοῦ “θνητῶν καὶ ἐπιγείων πάντων”. RV

book 165 ἐν Πειραιεῖ R παρὰ ταῖς πόρναις Lh: πόρνειον γὰρ ἦν ἐκεῖσε· ἐμπόριον γάρ ἐστι, καὶ διὰ τὸ κατωφερὲς τῶν ναυτῶν ἐκεῖσε ἔτρεχον αἱ πόρναι. RVLh

book 166 οὐ κατορύξεις: ἀντὶ τοῦ R "οὐ συγχώσεις καὶ ἀποκρύψεις RVLh τὴν σαυτοῦ κόπρον;". VLh

book 167a ἐπιφορήσεις: ἐπάξεις καὶ ἐπιβαλεῖς. R

book 167b ἀττικῷ ἐν σχήματι εἶπεν. ἢ V λείπει κόνιν. RV

book 168a ἕρπυλον RLh ἄνω R: εἶδος ἄνθους σαμψύχῳ ὅμοιον. μάλιστα δὲ παρὰ τοῖς ὕδασι θάλλει. RVLh μέμνηται καὶ Θεόφραστος. RV

book 168b βοτάνη εὔοσμος, ἣν εἰώθασι παρὰ τοὺς τάφους φυτεύειν. V

book 168c εἶδός τι πολυρρίζου φυταρίου. τοῦτό φασι καὶ λέγεσθαι ἕρπυλον παρὰ τὸ ἕρπειν ταῖς ῥίζαις. τοῦτο δὲ συμβουλεύει ἐπιφυτεῦσαι τῷ ἀποπατήματι ὡς δυνάμενον διὰ τῶν ῥιζῶν περικαλύψαι αὐτὸ καὶ ἀφανίσαι τὴν δυσωδίαν ὑπὸ τῆς εὐωδίας· ἔστι γὰρ εὐωδές. V

book 169 καὶ μύρον ἐπιχεῖς Lh: καὶ ἐπιβαλεῖς μύρον εἰς αὔξησιν, διὰ τὸ τέλεον ἀφανισθῆναι τὴν ὀσμήν. VLh παρείληφε τοῦτο, διόπερ οὐδ' ἀτελῶς ἠρκέσθη ὀλίγον τῆς γῆς ἐπιβαλεῖν, ἀλλ' ἐπήγαγεν ἐκ πολλῶν. V

book 171a alpha ἡ πόλις ἡ Χίων R: ἅμα μὲν ὡς Χίων διὰ μαλακίαν εὐρυπρώκτων ὄντων καὶ ἑτοίμων πρὸς τὸ ἀποπατεῖν, ἅμα δὲ ὡς ἐκ πάσης προφάσεως τῶν Ἀθηναίων συκοφαντούντων καὶ ζημιούντων τὰς πόλεις καὶ λεγόντων· ὅτι Χῖος ἦν ὁ ἀποπατῶν, καὶ διὰ τοῦτο ὁ κάνθαρος ἔπεσεν ἐπὶ τὴν ὀσμήν. ἢ μᾶλλον αὐτοὺς κωμῳδεῖ διὰ τὸ ὑπονοεῖν αὐτοὺς ἀποστήσεσθαι τῶν Ἀθηναίων. RV

book 171a beta ἡ πόλις ἡ Χίων: τοῦτο ὡς ἐκ παροιμίας τῶν Ἀθηναίων ἐκ 〈πάσησ〉 προφάσεως συκοφαντούντων καὶ ζημιούντων τὰς πόλεις καὶ λεγόντων· ὅτι Χῖος ἦν ὁ ἀπ〈οπ〉ατῶν, καὶ διὰ τοῦτο ὁ κάνθαρος ἔπεσεν ἐπὶ τὴν ὀσμήν. κωμῳδεῖ δὲ Χίους ὡς εὐρυπρώκτους ὄντας καὶ ἑτοίμους εἰς τὸ ἀποπατεῖν. Lh

book 171b τούτους ὡς ἀκρασίαν μαλακίας ἔχοντας σκώπτει. καὶ οἱ πάντες δὲ Ἴωνες τοιοῦτοί εἰσιν, οἱ δὲ Χῖοι ἐξαιρέτως. V

book 172 〈 〉 Lh

book 173a διπλῆ καὶ ἔκθεσις εἰς ἰάμβους τριμέτρους ρκϛ', ὧν τὸ τελευταῖον καὶ νησιώτας· δεῦρ' ἴτ' ὦ πάντες λεώ. ἐπ' ἐνίοις δὲ ἀντιγράφοις μετὰ στίχους να' ἐστὶ κωλάριον τόδε τί φησι; καὶ μετ' ἄλλους λη' τόδε ἰὴ ἰή. V

book 173b ※ Lh

book 174a ὦ μηχανοποιέ Lh: πρὸς τὸν ἐν τῷ θεάτρῳ μηχανοποιόν φησιν. RVbisLhbis

book 174b προσέχετε τὸν νοῦν Lh: τουτέστιν ἀλήθειαν λέξω, ἐπεὶ τὰ πρῶτα διασύρων δοκεῖ τὸν Βελλεροφόντην. VLh

book 175a alpha γρ. καὶ πνεῦμα. R

book 175a beta πνεῦμα] γρ. καὶ πρᾶγμα. V

book 175b λέγει τὴν γαστέρα. RV

book 176 χορτάσω] ἀποπατήσας δηλονότι. V

book 180a πόθεν βροτοῦ LhAld με Lh: κορωνὶς καὶ εἴσθεσις ἀμοιβαία. LhAld

book 180a alpha οἱ δὲ στίχοι εἰσὶν ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι νϛ', ὧν τελευταῖος καὐτὸς θυείας φθέγμα πολεμιστηρίας. Lh

book 180a beta 〈ἐξ ἰαμβείων νϛ'.〉 Ald

book 180a ἐπὶ τῷ τέλει κορωνίς. LhAld

book 180b πόθεν βροτοῦ με: ἀντὶ τοῦ “αἴσθησις ἀνθρώπου εἰσελήλυθεν”. V

book 180c alpha λείπει ὀσμὴ ἢ φωνή. R

book 180c beta 〈ἢ ὀσμὴ ἢ φωνή. ἐλλειπτικῶς κατὰ τοὺς Ἀττικούς.〉 Ald

book 180d ὁ Ἑρμῆς ἐστιν ὁ ταῦτα λέγων ἤδη Τρυγαίου προσπεπελακότος τῷ οὐρανῷ. V

book 180e ὦναξ Ἡράκλεις R: θεασάμενος τὸν κάνθαρον ὁ Ἑρμῆς καὶ ἐκπλαγείς φησι τὸ “ἄναξ Ἡράκλεις”. RV

book 181 ἔπαιξε παρὰ τὸ ἱπποκένταυρος. RV

book 185 τοῦτο μάλιστα μὲν πρὸς τὸ ὑπὸ τοῦ Ἑρμοῦ εἰρημένον “ὦ μιαρὲ καὶ παμμίαρε καὶ μιαρώτατε” δοκεῖ ἐξ ἐκείνων λελέχθαι, τὸ δὲ ἀληθὲς τὴν ἀφορμὴν ἐκ τοῦ Σκείρωνος παρ’ Ἐπιχάρμου ἔχει, ἐπεὶ κἀκεῖνος πεποίηκε τὸν φορμὸν ἐρωτηθέντα “τίς ἐστι μήτηρ;” ἀποκρινόμενον· ὅτι “σηκίς”, καὶ “τίς ἐστι πατήρ;” εἰπόντα· “σηκίς”, καὶ “τίς ἀδελφός;” ὁμοίως “σηκίς”. ἀλλ’ ἐκεῖνος μὲν ἔδοξε πρὸς τὸ ἐρωτώμενον τὸ ἑξῆς ἀποκρίνεσθαι· ἔστι γάρ τις τοῖς φορμοῖς συγγένεια πρὸς τὰς σηκίδας. ἐνταῦθα δὲ οὐκέτι κατὰ τὸ συγγενὲς οὗτος ἀπεκρίθη. V

book 187 μιαρώτατος] πρὸς ἃ εἶπεν αὐτῷ καὶ αὐτὸς ἀποκρίνεται. V

book 188 ὅπως οὐκ ἀποθανεῖ] διασύρει αὐτόν. V

book 190 Τρυγαῖος RVLh ἀθμονεὺς RLh: τὸ μὲν ὄνομα VLh Τρυγαῖος V παρὰ τὸ τρυγᾶν πεποίηται ἁρμόζον γεωργῷ, τὸ δὲ “ἀθμονεὺς” ἀπὸ δήμου ἀττικοῦ. RVLh οἱ δὲ τῆς Ἀτταλίδος φυλῆς, οἱ δὲ τῆς Κεκροπίδος. V

book 191 οὐδ’ ἐραστὴς πραγμάτων R: ἐδόκουν γὰρ οἱ γεωργοί, καὶ μάλιστα οἱ δεξιοί, ἀπραγμοσύνην ἀσπάζεσθαι. RVLh

book 192 τὰ κρέα ταυτί σοι φέρων R: ὅτι RVLh καὶ Lh κατὰ συστολὴν ἔλεγον, οὐ μόνον, RVLh ὥς φασί τινες, RV ἐν ἐκτάσει RVLh τὰ κρέα. Lh ὡς πρὸς λίχνον δὲ τὸν Ἑρμῆν ταῦτα λέγει. RVLh

book 193a alpha ὦ δειλακρίων RLh: ἀπὸ τῶν κρεῶν. RVbisLh

book 193a beta συνέπλεξε τοῖς κρέασι τὸ δειλόν. V

book 193b συνῆψε τὸ ὄνομα RVLh οἷον “ὦ RV ἄκρως δειλέ” ἤγουν RVLh ὦ VLh ἐπίπονε. RVLh

book 193c ἰδὼν γὰρ τὰ κρέα VLh καὶ λαβὼν αὐτὰ V εὐθὺς VLh κατέκλασται, καὶ τὴν ὀργὴν μεταβαλλόμενος V ἐλεεῖ αὐτόν. VLh

book 193d 〈δειλακρίων: ὁ Ἑρμῆς ἐλέγετο ὡς λίχνος· κρεαδίων γὰρ ἐπιδεικνυμένων αὐτῷ κατήρχετο αὐτίκα.〉 Su. II 29, 14

book 193e ὦ γλίσχρων RLh: “γλίσχρων” R ἀντὶ τοῦ “ἐπιθυμητά” RVLhbis ἀπὸ τοῦ γλίχεσθαι. RVLh

book 193f γλίσχρωνας τοὺς ἀτυχεῖς εἰώθασι λέγειν, καὶ γλισχρίαν τὴν ἀτυχίαν. νῦν δὲ ἀντὶ τοῦ VLh “ὦ V ἐπίπονε”. VLh

book 194 ὅτι φιλοτίμως εἰς τὸν οὐρανὸν ἀνέβην. RLh

book 195a νυν] δή. Lh

book 195b ἰὴ ἰὴ ἰή: τὸ μῆκος σημαίνων τοῦτό φησιν. πρόσφθεγμα δέ ἐστι καταφρονοῦντος. RLh

book 196 ὅτ’ οὐδὲ μέλλεις R: οὐ μόνον, φησίν, οὐκ εἶ πλησίον τῶν θεῶν, ἀλλ’ οὐδὲ μέλλεις. RV μετῴκησαν γάρ, RVLh φησίν. ὅθεν; V δι’ ὑμᾶς, RVLh ὅτι οὐ βλέπετε εἰρήνην. V

book 198 ἰδοὺ γῆς R: χλευάζων φησίν. RVLh ὅτι εἶπε “ποῖ γῆς;” RV ὡς Lh ἐν οὐρανῷ αὐτῶν οἰκούντων. RVLh

book 199a τινές φασι κύτταρον τὸ ὑψηλότατον τοῦ οὐρανοῦ. λέγουσι γὰρ κοῖλον εἶναι τὸν οὐρανὸν ὥσπερ τοῦ ᾠοῦ τὴν λεπίδα. RV

Eulogikon public reading copy · View original HTML at eulogikon.org

book 199b τὸν κύτταρον Lh: Λυκόφρονά φησιν Ἐρατοσθένης τὸ κύτταρον λέγειν ἐν ᾧ αἱ φηγοὶ ἐγκάθηνται, οὐκ ὀρθῶς. V κυττάρους γὰρ καλοῦσι τὰς τῶν κηρίων καὶ σφηκίων κατατρήσεις, VLh ὡς καὶ ἐν τοῖς Σφηξὶν εἴρηκεν ὥσπερ οἱ σκώληκες ἐν τοῖς κυττάροις κινούμενοι. Θεόφραστος δὲ κυρίως λέγει προάνθησίν τινα τῆς πεύκης καὶ τῆς πίτυος, ἥτις ἐστὶν ὥσπερ στάχυς μικρὸς ἐκ μεγάλων πυρῶν, ξηραινόμενος δὲ θυλακοῦται καὶ ἀποπίπτει. οἷον οὖν ἀγγειῶδες. V

book 199b alpha "κύτταρον" δὲ "οὐρανοῦ" λέγοι ἂν νυνὶ μεταφορικῶς τὸ κοιλότατον καὶ μυχαίτατον· V

book 199b beta μεταφορικῶς δὲ τὸ κοιλότατον καὶ μυχαίτατον εἶπε τοῦ οὐρανοῦ. Lh

book 199b προεῖπε γάρ, ὅτι πόρρω πάνυ ἀπῳκισμένοι εἰσὶν οἱ θεοί. V ὁ δὲ λόγος· εἰς τὰ ἔσχατα καὶ ἀπόκρυφα μέρη VLh ἀπεληλύθασι V τοῦ οὐρανοῦ. VLh

book 201 τὰ λοιπὰ τηρῶ R: καὶ ταῦτα γελοίου χάριν, RVLh καὶ ἐπιδιασύρων VLh ταῦτά V φησιν. VLh μέγας γὰρ δὴ πλοῦτος, εἰ ἐν σκευαρίοις ἐστὶ τοῖς θεοῖς ἡ περιουσία. RV

book 202 ἀμφορεῖς RVLh ἐκάλουν RV τὰ μέτρα. RVLh

book 205 205] ὅπου ᾤκουν πρότερον καὶ διέτριβον οἱ θεοί, κατῴκισαν τὸν Πόλεμον. Lh

book 206 ὑμᾶς παραδόντες: τῷ Πολέμῳ δηλονότι. R

book 207a ἀνῳκίσανθ': ἀντὶ τοῦ Lh "ἀπῳκίσαντο καὶ ἀνεχώρησαν", ὡς ἂν μὴ παρεῖεν αὐτοῖς τὰ δυσχερῆ. VLh

book 207b ὅπως ἀνωτάτω R: ἀντὶ τοῦ "ἁπάντων ἀνωτάτω". RLh

book 207c ἀντὶ τοῦ R "ὅσον δυνατὸν ἦν". RLh

book 210 τοῦ δ' εἵνεχ' ἡμᾶς] τίνος χάριν καθ' ἡμῶν τοσαύτην ἔσχον ὀργήν. Lh

book 211a ἐκ πολλῶν μὲν καὶ ἄλλων δῆλον, ὅτι παρὰ τὸν πελοποννησιακὸν πόλεμον συνετάχθη τοῦτο τῷ ποιητῇ τὸ δρᾶμα· δῆλον δὲ μάλιστα τοῦτο πεποίηκε νῦν φανερῶς τοῦ πολέμου τούτου μνημονεύσας. V

book 211b ἐκείνων πολλάκις: τῶν θεῶν ἢ Lh τῶν Λακεδαιμονίων. RLh ὅτι πολλάκις Λακεδαιμόνιοι βουλόμενοι εἰρηνεῦσαι ἦλθον, καὶ οὐκ ἐδέξασθε αὐτούς. Lh

book 211-212a τῶν θεῶν πρυτανευόντων ὑμῖν τὴν εἰρήνην ἀεί. VLh

book 211-212b σφόδρα ὁμηρικῶς τῶν μὲν ἀγαθῶν καὶ τῆς εἰρήνης δοτῆράς φησι τοὺς θεούς, τοῦ δὲ πολέμου οὐκέτι· οἷον δὴ νῦν βροτοὶ θεοὺς αἰτιῶνται. ἐξ ἡμέων γάρ φασι κάκ' ἔμμεναι· οἱ δὲ καὶ αὐτοὶ σφῇσιν αὐτα. V

book 211-212c ἐπειδὴ ἐν ταῖς σπονδαῖς ἐπιμαρτύρονται τοὺς θεούς. RV

book 212alpha οἱ Λακωνικοί: ὡς φιλοπολέμων ὄντων τῶν Λακώνων καὶ τὴν εἰρήνην οὐ προσιεμένων πρῶτον ἐμνήσθη. Lh

book 212beta χρησίμως τῶν Λακώνων πρῶτον εἰς ἀδικίαν ἐμνημόνευσεν ὡς φιλοπολέμων ὄντων ἐκείνων ἀεὶ καὶ τὴν εἰρήνην οὐ προσιεμένων. V

book 212 εἰ γὰρ ἔτυχε τοὺς Ἀθηναίους προτάξας, πρῶτον μὲν εὐθὺς ἀπήχθετο τοῖς ἀκούουσιν, ἔπειτα διαβολὴν ἂν ἀπειργάσατο κατὰ τῆς πόλεως οὐ τὴν τυχοῦσαν. καὶ γὰρ εἰ μετὰ ταῦτα μνημονεύει καὶ τῶν Ἀθηναίων ὡς καὶ αὐτῶν ἀποπεμπομένων τὴν εἰρήνην, ὁπότε κρατήσειαν, ἀλλ' οὖν ἧττων ἡ διαβολὴ μάλιστα τῷ τὸν πρῶτον λόγον λεχθέντα τῶν ἀκουόντων πλήττειν τὰς ἀκοάς. ἔπειτα τὸ ἀμύνεσθαι τοῖς ἴσοις τοὺς προηδικηκότας συγγνωστὸν παρὰ πᾶσι κἀν τούτῳ τὴν αἰτίαν δικαίως ἀποφερομένων τῶν προηδικηκότων. τὸ αὐτὸ δὲ δηλοῖ καὶ τὸ "Θουκυδίδης συνέγραψε τὸν πόλεμον τῶν Πελοποννησίων καὶ Ἀθηναίων", ἵνα αὐτῶν μᾶλλον τὸ ἔργον ᾖ. V

book 213 ἀντὶ τοῦ "τοιοῦτό τι ἔλεγον". V

book 214a ναὶ τὼ σιὼ RLh: οὕτω VLh τοὺς Διοσκούρους οἱ Λακεδαιμόνιοι σιοὺς ἔλεγον, ὡς Ἀθηναῖοι θεὼ Δήμητραν καὶ Περσεφόνην. RVLh ἔθος δὲ τοῖς Λακεδαιμονίοις ἐπὶ τοῦ "νὴ τὼ θεώ" τρέπειν τὸ θ εἰς τὸ ς καὶ τὸ ε εἰς τὸ ι. RV

book 214b νῦν ἀττικίων Lh: εἰ οἱ Λακεδαιμόνιοι μικρὸν ἐν τῇ μάχῃ κρατήσωσιν, εὐθέως λέγουσι· μὰ τοὺς θεούς, νῦν δώσουσιν VLh οἱ Ἀθηναῖοι Lh δίκας. VLh

book 214b alpha καὶ πάλιν ἐὰν οἱ Ἀθηναῖοι νικήσωσιν, εἶτα Λακεδαιμόνιοι ἔλθωσιν εἰρήνην ποιῆσαι βουλόμενοι, εὐθέως ἀντιλέγουσιν V

book 214b beta εἰ δ' Ἀθηναῖοι νικήσουσιν, εὐθέως ἀντιφθέγξονται Λάκωνες· καὶ εἰ ἔλθωσι μετὰ τὴν ἧτταν εἰρήνην ζητοῦντες οἱ Λακεδαιμόνιοι, λέγουσιν Lh

book 214b Ἀθηναῖοι· ἐξαπατῆσαι ἡμᾶς βούλονται, ἵνα ποιήσωμεν εἰρήνην, ἐπεὶ νικῶμεν· VLh διὸ οὐ δεῖ πεισθῆναι ἡμᾶς. V

book 214c οὕτως ἔλεγον ἐνυβρίζοντες καὶ εὐτελίζοντες καὶ εἰς ἧττον φέροντες ὑποκοριστικῶς τοὺς Ἀθηναίους ἐν τῷ ὀνόματι, ἐν ᾧ καὶ Ἴωνες ἔγκεινται. V

book 215a παίζει· ἐπειδὴ εἶπεν ἄνω "Λακωνικοί" ὑποκοριστικῶς, διὰ τοῦτο καὶ "Ἀττωνικοί". V

book 218 ἐχρῆν μᾶλλον αὐτοὺς τὴν πάτριον ὀμόσαι, λέγω δὲ τὴν Ἀθηνᾶν· καὶ 〈γὰρ〉 τοὺς Πελοποννησίους τοὺς πατρίους αὐτῶν ἐποίησεν ὀμόσαντας θεούς. πλήν, εἰδέναι δεῖ, διὰ τοῦτο πεποίηκεν ὀμνύντας αὐτοὺς 〈τὸν Δία〉, διὰ τὸ αὔξειν καὶ ἀποσεμνύνειν τὰ τῶν Ἀθηναίων πράγματα καὶ ἐν τούτῳ ἐπαίρων τοὺς Ἀθηναίους, ὡς οὐκ Ἀθηνᾷ μόνῃ χρήσαιντο συμμάχῳ, ἀλλὰ καὶ Διί. V

book 219a σκώπτει τὸ ὑπερήφανον 〈τῶν〉 Ἀθηναίων. Lh

book 219b alpha ἥξουσι καὖθις: ἐὰν "πόλιν" γράφηται, λέγει· ὅτι πάλιν ἥξουσι δεόμενοι τῆς εἰρήνης τυχεῖν οἱ Λακεδαιμόνιοι, ἐὰν ἔχωμεν ἀσφαλῶς τὴν πόλιν. ἄδηλον δέ, ποίαν πόλιν λέγει, τὴν Λακεδαιμονίων ἢ τὰς Ἀθήνας. ἐὰν δὲ γράφηται "Πύλον", ἀληθείας μᾶλλον ἔχεται R

book 219b beta οἱ μὲν πολλοὶ ταύτην ἐξέλαβον τὴν ἀνάγνωσιν, ἵν' ᾖ δηλούμενον "καὶ πάλιν ἥξουσι τῆς εἰρήνης δεόμενοι τυχεῖν οἱ Λακεδαιμόνιοι, ἐὰν ἀσφαλῶς κατέχωμεν τὴν πόλιν". ἔστι δὲ ἀμφίβολος ἡ ἐξήγησις αὕτη, ποίαν πόλιν βούλεται, πότερον τῶν Λακεδαιμονίων ἢ τὰς Ἀθήνας. ἐν ἀντιγράφῳ δὲ εὗρόν ποτε "ἢν ἔχωμεν τὴν Πύλον", καὶ οὐκ ἄκαιρος αὕτη ἡ γραφή, ἐπεὶ καὶ ἀληθείας ἔχεται κατὰ πάντα, καὶ V

book 219b διὰ τοὺς ληφθέντας τριακοσίους ἐν Σφακτηρίᾳ καὶ διὰ τὸ ἐπιτείχισμα, ὅπερ Ἀθηναῖοι κατέστησαν ἐν Πύλῳ, καὶ ὅτι ληφθείσης αὐτῆς περὶ εἰρήνης πρῶτοι Λακεδαιμόνιοι πρὸς Ἀθηναίους ἐπρέσβευσαν. RV

book 219c οὐχ ὡς ὡρισμένην τινὰ πόλιν, ἀλλ' ὡς, ἐπειδὰν πόλιν τινὰ τῶν Πελοποννησίων προσκείμενοι πιέζωσι, ταῦτα λεγόντων αὐτῶν. V

book 220 ἡμεδαπὸς: ἀντὶ τοῦ "ἡμέτερος". R

book 224 ἔστι τι καὶ ἄντρον ἐπὶ τῆς σκηνῆς. RV

book 225a ἐπέβαλεν, ἐπεσώρευσεν. ὅπλον γὰρ πολέμου καὶ ὁ λίθος. R

book 225b καὶ λίθους. V

book 228 θυείαν: ἀγγεῖον εἰς ὃ ἐμβάλλοντές τινα τρίβομεν καὶ λειοῦμεν. R

book 231a τρίβειν RLh: ἀντὶ τοῦ "ἐν πολέμῳ βούλεται τὰς πόλεις ἐπὶ πολὺ διατρίβειν". RVLh

book 231b ἅμα μὲν παρὰ τὸ τρίβειν ἐν θυείᾳ μυττωτόν, ἅμα δὲ παρὰ τὸ ἐπιτρίβειν RVLh καὶ RV ὥσπερ αὑτοὺς V δαπανᾶν. RV

book 232

Eulogikon public reading copy · View original HTML at eulogikon.org

καὶ γὰρ ἐξορμᾶν κατ’ ἐμὴν γνώμην, καὶ ὡς οἴομαι, ἑτοίμως ἔχει. εἰώθασι γὰρ καὶ πληθυντικῶς τῇ συντάξει κεχρῆσθαι ταύτῃ· καὶ γὰρ ἐξιέναι μέλλει κατὰ γνώμας τὰς ἐμάς. V

book 234 φέρ’ αὐτὸν ἀποδρῶ R: νοεῖν δεῖ τὸν Τρυγαῖον ἀπὸ τοῦ κανθάρου ἀποβεβηκότα ἐπὶ τῆς σκηνῆς. RV

book 235a alpha θυείας: ἀντὶ τοῦ “σάλπιγγος”. R

book 235a beta θυείας φθέγμα: ἀντὶ τοῦ εἰπεῖν “σάλπιγγος” “θυείας” εἶπεν. Lh

book 235b Lh

book 236a ἰὼ βροτοὶ LhAld βροτοὶ Lh: κορωνὶς ἑτέρα ἑτέρων ὑποκριτῶν εἰσιόντων. οἱ δὲ στίχοι LhAld

book 236a alpha εἰσὶν ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι ξγʹ. καὶ ἐν ἐκθέσει ἕτεροι δύο τροχαϊκοὶ τετράμετροι καταληκτικοὶ ὅμοιοι τοῖς ἑξῆς, ὧν τελευταῖος νῦν γὰρ ἡμῖν ἁρπάσαι πάρεστιν ἀγαθοῦ δαίμονος. Lh

book 236a beta 〈ὅμοιοι τοῖς προφθάσασι ξγʹ. καὶ ἐν ἐκθέσει τροχαϊκοὶ τοῖς ἑξῆς ὅμοιοι δύο.〉 Ald

book 236a ἐπὶ τῷ τέλει κορωνὶς ἐξιόντων τῶν ὑποκριτῶν. LhAld

book 236b ἰὼ βροτοὶ: ὁ Πόλεμος ἐξέρχεται θέλων τρῖψαι μυττωτόν. σκευὴ δὲ αὕτη ἐκ τυροῦ καὶ σκορόδου καὶ μέλιτος RV καὶ πράσου. V

book 236c τινές φασι τὸν Δία ταῦτα λέγειν. V

book 237a τὰς γνάθους R: ἢ τριβόμενοι ἐν τῇ θυείᾳ ἢ τὸν μυττωτὸν ἐσθίοντες, ὃν τρίβειν παρασκευάζεται ὁ Πόλεμος. RV

book 237b ἐπειδὴ ἀπὸ τοῦ δικαστηρίου ἐσθίουσιν, RV πολέμου δὲ ὄντος ἀργεῖ τὰ δικαστήρια. λέγει οὖν ἀντὶ τοῦ εἰπεῖν. V

book 237c λιμώττοντες. V

book 237d διὰ τὸν πόλεμον τοῦτό φησιν· ἐν γὰρ τῷ πολέμῳ λιμώττουσι καὶ διὰ χρόνου ἐσθίουσι, καὶ συμβαίνει ἐκ τῆς ἀργίας τοῦ μὴ ἐσθίειν πάσχειν αὐτοὺς τὰς γνάθους ὕστερον ἐσθίοντας. V

book 240 ταῦτά φησι θεασάμενος τὸν Πόλεμον μείζονα τὴν ὑπόνοιαν ἔχοντα τῆς πείρας τῆς διὰ τῆς ὄψεως. RVLh

book 241a 〈ταλαύρινος: ὑπομονητικός, καρτερικὸς ἐν τῇ μάχῃ.〉 Ald

book 241b ὁ κατὰ τοῖν σκελοῖν] συμβολικὸν ἀπὸ τῶν διὰ δειλίαν ἀποτιλώντων. RV

book 242a ἰὼ R Πρασιαὶ RV: πόλις λακωνική. ἅμα δὲ πράσον ἐμβάλλων ταῦτά φησιν. RVLh ἔστι δὲ καὶ τῆς Ἀττικῆς ἐπίνειον, ὥς φησι Θουκυδίδης καὶ Φιλόχορος, μήποτε δὲ οὐχ οὕτως ἔχον· οὐκ ἂν γὰρ ἔλεγεν ἑξῆς· οὐδὲν πρὸς ἡμᾶς αἱ Πρασιαί. V

book 242b πεντάκις] ἀντὶ τοῦ “πολλάκις”. V

book 244 τουτὶ μὲν ἄνδρες R οὐδὲν ἡμῖν πρᾶγμα Lh: πρὸς τὴν ὁμωνυμίαν φησὶ τῶν ἐν τῇ Λακωνικῇ Πρασιῶν, ὅτι ἡμεῖς τοῦ κακοῦ τούτου ἀλλότριοί ἐσμεν. RLh

book 246a alpha ὦ Μέγαρα R: ἅμα ταῦτα λέγων ὁ Πόλεμος RVLh καὶ Lh σκόροδα βάλλει εἰς τὴν θυείαν, ὅθεν καὶ τὸ ἑξῆς οἰκείως ἐπάγεται RVLh, τὸ Lh ἁπαξάπαντα RVLh καταμεμυττωτευμένα. VLh

book 246a beta ὦ Μέγαρα: σκόροδα ἐμβάλλων ταῦτα λέγει. VLh

book 246b ὡς ἐπιτετρίψεσθ’ R: ἡ μεγαρικὴ γῆ σκοροδοφόρος· σύμμαχοι δὲ Λακεδαιμονίων Μεγαρεῖς. καὶ ὅτι πᾶσα ἡ τοῦ πολέμου πρόφασις δι’ αὐτοὺς δοκεῖ γεγονέναι RVLh χάριν τοῦ τὸ πινάκιον συνθέντος τὸ κατ’ αὐτῶν εἰς τὴν Περικλέους χάριν, ὥστε μήτε γῆς μήτε λιμένων ἀττικῶν ἐπιβαίνειν τοὺς Μεγαρεῖς. εἰκότως οὖν εἰς τὸ κεχαρισμένον τοῖς Ἀθηναίοις τοὺς τούτων ἐχθροὺς παρεισάγει ἐκ τοῦ πολέμου συντριβομένους εἰς τέλεον. VLh

Eulogikon public reading copy · View original HTML at eulogikon.org

book 248 βαβαὶ βαβαιὰξ R: σχετλιαστικὰ ἀντὶ τοῦ “φεῦ RVLh φεῦ”. RV

book 249a alpha δέον εἰπεῖν “τὰ σκόροδα” παρ’ ὑπόνοιαν εἶπε “τὰ κλαύματα”. RV

book 249a beta κλαύματα] ἤγουν σκόροδα· παρ’ ὑπόνοιαν. Lh

book 249b τὰ V κλαύματα VLh: ἀντὶ τοῦ RVLh “τὰ RV σκόροδα”. τοῖς γὰρ ἐσθίουσι RVLh τὰ RV σκόροδα δάκρυα ἔπεισι διὰ τὴν δριμύτητα. RVLh διό φησιν “ὡς δριμέα τοῖσι Μεγαρεῦσιν”. V

book 249c οὕτω εἶπε προσκαταρώμενος. V

book 250a Σικελία R: ταῦτα πάντα παρεπιγραφή ἐστιν. RV

book 250b ἰὼ Σικελία Lh: τυρὸν ἐμβαλὼν Σικελίας μέμνηται· πολὺς γὰρ ἐκεῖ τυρός. οὐκ ἄδηλον δέ, ὅτι καὶ ταύτης τὸ πλέον μέρος πολέμιον ἦν τοῖς Ἀθηναίοις. ἔνθα καὶ τὴν μεγάλην ἐδυστύχησαν ἧτταν. RVLh

book 251a ὅτι πόλιν εἶπε τὴν Σικελίαν νῆσον οὖσαν. καὶ Ὅμηρος πολλάκις τὰς νήσους πόλεις καλεῖ, ὡς τὸ Λῆμνον δ’ εἰσαφίκανε πόλιν θείοιο Θόαντος. καὶ Πίνδαρος δὲ περὶ τῆς Αἰγίνης ἁ μὲν πολλάκις Αἰακιδᾶν. καὶ Εὐριπίδης Εὔβοι’ Ἀθήναις ἐστὶ γείτων πόλις. V

book 251b ἀντὶ τοῦ R “διαφθαρήσεται”. διακναίειν δέ ἐστι κυρίως τὸ ξύειν RVLh τὸν Lh τυρὸν τῇ κνήστει. RVLh

book 251c διακναισθήσεται Lh: ὡς ἐπὶ τυροῦ VLh

book 251c alpha τοῦτο. Lh

book 251c beta ὁ Ἀριστοφάνης τῇ λέξει ἐχρήσατο. V

book 251c καὶ Ὅμηρος ἐπὶ δ’ αἴγειον κνῆ τυρὸν VLh κνήστι χαλκείῃ. V

book 251d δεῖ νοεῖν, ὅτι πάλιν ἐνταῦθα τυρὸν ἐπιξύων καὶ εἰς τὴν θυείαν ἐμβάλλων ταῦτα λέγει. V

book 252a alpha φέρ’ ἐπιχέω καὶ τὸ μέλι: χαριζόμενος Ἀθηναίοις τὸ μέλι τούτοις προσένειμεν. ὅσῳ γὰρ καὶ τῶν σκορόδων καὶ τῶν πράσων καὶ τοῦ τυροῦ τὸ μέλι τιμιώτερον, R

book 252a beta φέρ’ ἐπιχέω Lh: εὐφυέστατα V χαρίζεται τοῖς Ἀθηναίοις, VLh σεμνολογῶν τὰ κατ’ αὐτούς. V ὅσῳ γὰρ τὸ μέλι τιμιώτερον τῶν σκορόδων καὶ τῶν πράσων, VLh

book 252a τοσούτῳ ἀμείνων καὶ ἡ τοῦτο γεωργοῦσα γῆ. RVLh

book 252b εἰπὼν τοῦτο RVLh ὁ Πόλεμος RV τὸ μέλι εἰς τὴν θυείαν βάλλει. RVLh

book 252c θέασαι, ὅτι καὶ ἡμεῖς εὐφυῶς, εἴγε μὴ σφαλῶμεν, παρετηρήσαμεν ἐν τοῖς προλαβοῦσι τὴν ἐξήγησιν, εἴγε μειοῦν μὲν ἐν πάντι σπουδάζει τὰ λακωνικά, αὔξειν δὲ τὰ ἀττικά. ἀμέλει κἀνταῦθα ποιῶν τοῦτο φαίνεται. διὸ τοῖς τε Λακεδαιμονίοις καὶ τοῖς ἐκείνων συμμάχοις ἐπαρώμενός τι φαῦλον, οἷον ἐπὶ μὲν τῶν Πρασιῶν ἰὼ Πρασιαὶ τρισάθλιαι καὶ πεντάκις καὶ πολλάκις, ὡς ἀπολεῖσθε τήμερον καὶ ἐπὶ τῶν Μεγάρων ὡς ἐπιτρίψεσθαι αὐτίκα καὶ ἰὼ Σικελία καὶ σὺ δὲ ὡς ἀπόλλυσαι καὶ οἵα πόλις τάλαινα διακναισθήσεται, ὁπότε περὶ Ἀθηνῶν δὲ λέγει, μηδὲν δυσχερὲς μηδὲ βλάσφημον ἐπήγαγέν τι, ὁποῖον περὶ ἐκείνων φαμὲν εἰρηκέναι. V

book 253 ἐν πολλοῖς κεῖται τὸ “σοί”. τάχα δὲ οὐκ ὤφελε διὰ τὸ μέτρον θεῖναι· εἰ μὴ ἄρα τὴν αι κοινὴν λάβωμεν. V

book 254a ἀντὶ τοῦ V “πολυτίμητον”. RVLh οὕτω δὲ λέγουσι τὸ τετρωβολιαῖον, τουτέστι τὸ τετρωβόλου πωλούμενον. VLh

book 254b ἅμα “φείδου”, φησί, “τῶν ἀττικῶν κατὰ πόλεμον”. V

book 254c οἷον V φειδώ τινα καὶ πρόνοιαν ποιοῦ τοῦ ἀττικοῦ. VLh

book 254d τουτέστι συντήρει καὶ διαφύλαττε τὸ ἀττικόν. οὐκ ὀκνεῖ γάρ, εἰ δεῖ, καὶ δεῖσθαι ὑπὲρ αὐτοῦ τοῦ θεοῦ. V

Eulogikon public reading copy · View original HTML at eulogikon.org

book 256 παρεπιγραφή· ἅμα γὰρ τῷ εἰπεῖν δίδωσιν αὐτῷ VLh τὸν V κόνδυλον. VLh

book 258 258] ἠστειεύσατο V διὰ τὸ δριμὺ RV τῆς πληγῆς καὶ τῶν σκορόδων. V

book 259 ἀλετρίβανον] οἱ μὲν δασέως παρὰ τὸ τοὺς ἅλας τρίβειν, οἱ δὲ ψιλῶς παρὰ τὸ ἀλεῖν. V

book 260 συμβαίνει γὰρ τοῖς νεωστὶ εἰσῳκισμένοις μὴ εὐπορεῖν RVLh πάντων RV τῶν ἀναγκαίων. RVLh

book 261 οὐκοῦν παρ' Ἀθηναίων RLh: πάλιν λεληθότως σεμνολογεῖ τοὺς Ἀθηναίους ὡς αὐτόχθονας RVLh καὶ γηγενεῖς VLh ἐκ τοῦ εὑρίσκεσθαι παρ' αὐτοῖς τὰ τῶν πάλαι εἰσῳκισμένων, RVLh ὧν ἠπόρουν οἱ νεωστὶ εἰσῳκισμένοι. RV

book 263 πόνηρ' ἀνθρώπια Lh: ὑποκοριστικῶς τοῦτο πρὸς τὴν παροῦσαν συμφορὰν VLh μειῶν αὐτούς. V

book 267alpha ὡς οἰκείῳ θεῷ τῆς Ἀττικῆς εὔχεται τῷ Διονύσῳ. R

book 267beta ἀλλ' ὦ Διόνυς' Lh: ὡς οἰκείῳ θεῷ εὔχεται τῆς Ἀττικῆς καὶ κυρίῳ τῶν ἐν τῷ θεάτρῳ καὶ τῶν ἐν τῇ εἰρήνῃ ἀγομένων. VLh

book 268a τὸ δεῖνα] διὰ τούτου τὸ ῥηθησόμενον ἀηδὲς ἐκφεύγει εὐθέως λέγειν. V

book 268b τὸ δεῖνα γὰρ ἀπόλωλ' Lh: ὅτε τι δυσχερὲς μέλλομεν λέγειν, εἰώθαμεν τοῦτο προτάσσειν ὡς μὴ εὐθυρρημονοῦντες. VLh

book 269 Κράτης παρατηρεῖν ἀξιοῖ πρὸς τοὺς λέγοντας, ὅτι ὁ μὲν δοῖδυξ ἀττικός, ὁ δὲ 〈ἀλε〉τρίβανος ἀσιανός, καὶ σκυτοδέψης μὲν ἀττικός, βυρσοδέψης δὲ ἀσιανός. V

book 270a ὁ βυρσοπώλης R: ὅτι μετὰ τὴν Κλέωνος τελευτὴν εἰσῆκται τὸ δρᾶμα· ἤδη γὰρ τεθνήκει. RV

book 270b alpha τοῦτο αἰνίττεται πρὸς τὸν Κλέωνα. V

book 270b beta τοῦτο διὰ τὸν Κλέωνα. Lh

book 270c ἐκύκα] ἐτάραττε, VLh ἐπολεμοποίει. V

book 271a εὖ γ' ὦ δέσποινα R: τὸ ἑξῆς· εὖ γε ποιῶν ἀπώλετο ἐκεῖνος, εἴπερ πρὸ τοῦ ἀπολέσαι τὰ πράγματα ἡμῶν ἀπώλετο. RVLh

book 271b οὕτως τὴν θεόν, τὰς δὲ γυναῖκας Ἀττικάς· ἵνα μὴ ὁμωνύμως. VLh

book 271c ταύτῃ εὔχεται, ὅτι τῶν Ἀθηναίων VLh ἱερὰ V ἡ θεός. VLh

book 272 κἀν δέοντι τῇ πόλει: τῷ χρησίμῳ τῇ πόλει. R

book 273a ἢ πρίν γε τὸν μυττωτὸν Lh: ἀντὶ τοῦ "πρὶν ἡμῖν τὸν πόλεμον ἐγεῖραι". RVLh

book 273b 〈τουτέστι πρὶν ταράξαι ἡμᾶς.〉 Su. II 272, 11

book 273c alpha ὡς αἴτιον αὐτὸν τοῦ πολέμου διαβάλλει, RV ὡς καὶ Θουκυδίδης ἱστορεῖ. R

book 273c beta ὡς VLh δὴ V αἴτιον τοῦ πολέμου καὶ ὡς αὐτὸν συνέχοντα τὸν πόλεμον, VLh ὡς καὶ Θουκυδίδης ἱστορεῖ. V

book 273d μυττωτὸν: ἀντὶ τοῦ "πράγματα ἡμῶν". R

book 275a ἀπελθὼν τοίνυν ὁ Κυδοιμὸς ἐπανῆλθε, καὶ οὕτως τὴν ἐρώτησιν αὐτῷ προσφέρει ὁ Πόλεμος. V

book 275b ἀνύσας τι: ἀντὶ τοῦ "ἤνυσάς τι καὶ διεπράξω καὶ φέρων ἥκεις;" V

book 276 τί ἄρα παθεῖν μέλλομεν; ἢ ἐν ποίῳ κινδύνῳ καθεστήκαμεν; RLh

book 277a ἀλλ' εἴ τις ὑμῶν R ἐν Σαμοθρᾴκῃ: ἐν Σαμοθρᾴκῃ ἦσαν τελεταί τινες, ἃς ἐδόκουν τελεῖσθαι πρὸς ἀλεξιφάρμακά τινων κινδύνων. RV

book 277b alpha ἐν τῇ Σαμοθρᾴκῃ τὰ τῶν Κορυβάντων ἦν μυστήρια καὶ τῆς Ἑκάτης. καὶ διαβόητον ἦν τὸ Ζήρινθον ἄντρον, ἔνθα τὴν Ἑκάτην ὀργιάζειν ἐλέγετο, καὶ τελετὰς ἦγον αὐτῇ RV τινας V καὶ κύνας ἔθυον. RV καὶ ὁ τὴν Ἀλεξάνδραν πεποιηκὼς μέμνηται Ζήρινθον ἄντρον καὶ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

κυνοσφαγοῦς θεᾶς λιπὼν ἐρυμνὸν 〈κτίσμα〉 Κυρβάντων Σάον. ἐν κινδύνοις δὲ γενόμενοι ἐπεκαλοῦντο τοὺς δαίμονας, οἷς ἐδόκουν μεμυῆσθαι, ἐπιφανῆναι καὶ ἀλεξῆσαι. V

book 277b beta ἐν Σαμοθρᾴκῃ: οἱ ἐν κινδύνοις γενόμενοι ἐπεκαλοῦντο τούτους τοὺς δαίμονας τοὺς ἐν Σαμοθρᾴκῃ, τούς τε Κορύβαντας καὶ τὴν Ἑκάτην. ἔξ ἧς καὶ διαβόητον ἦν τὸ Ζάρινθον ἄντρον, ἔνθα ταύτῃ ὀργιάζοντες ἠλευθεροῦντο. Lh

book 278 μεμυημένος RLh: τὰ μυστήρια τῶν Καβείρων. δοκοῦσι γὰρ οἱ μεμυημένοι ταῦτα RVLh δίκαιοί τε εἶναι καὶ VLh ἐκ RVLh τῶν R δεινῶν σώζεσθαι καὶ ἐκ χειμώνων. RVLh

book 279a ἀποστραφῆναι R: τὼ πόδε. ὃ ἡμεῖς V διαστραφῆναι RVLh λέγομεν. V

book 279b ἀντὶ τοῦ V “κλασθῆναι”. RVLh

book 279c τοῦ μετιόντος RV: τὸν δοίδυκα. RVLh

book 279d alpha ὥστε μὴ ὑποστρέψαι αὐτόν. R

book 279d beta ἐναντίαν αὐτῷ τὴν εἰς τὸ δεύτερον γενέσθαι ὁδόν, ὥστε μηκέτι αὐτὸν ὑποστρέψαι. V

book 279e εὐξώμεθα οὖν, φησί, 〈διαστραφῆναι〉 τοῦ Κυδοιμοῦ τοὺς πόδας, ὥστε μὴ δυνηθῆναι ἐπανελθεῖν αὐτὸν μηδὲ χωλεύοντα, μηδὲ κομίσαι τὸν ἀλετρίβανον. V

book 280a καὶ πάλιν. ἦλθε γὰρ μηδὲν ἀγόμενος, δι’ ὃ ἀσχάλλει. RV

book 280b γρ. κατοιμάλα. V

book 282 καὶ τοῖς Λακεδαιμονίοισιν RLh: ὁ Βρασίδας RVLh ὁ Τέλλιδος παῖς, ὃς RV ἦν Λακεδαιμονίων στρατηγός. καὶ RVLh οὗτος δὲ RV ἀνθίστατο τῇ εἰρήνῃ. ἐτελεύτησε δὲ ἐν Θρᾴκῃ. RVLh

book 283 καὶ γὰρ V εἰς συμμαχίαν πεμφθεὶς VLh ὁ Βρασίδας ἐπὶ Θρᾴκην V κατὰ τὸν αὐτὸν χρόνον VLh τῷ Lh Κλέωνι VLh τελευτᾷ. V

book 284a ἐν Ἀμφιπόλει γὰρ τῆς Θρᾴκης μονομαχήσαντες ὅ τε Κλέων καὶ ὁ Βρασίδας ἀλλήλους ἀνεῖλον. RV

book 284b χρήσαντες ἑτέροις] εἰς συμμαχίαν πέμψαντες τῶν Θρᾳκῶν. Lh

book 285a οὗτοι παρὰ τοῖς Λακεδαιμονίοις ἐτιμῶντο. διὸ νῦν αὐτῶν μέμνηται. RVLh

book 285b ὅτι Βρασίδου τοῦ Λακεδαιμονίου ἐμνήσθη, ἐπὶ δὲ Κλέωνος τῆς Ἀθηνᾶς. RV

book 288 288] ἐγὼ δὲ ἀλετρίβανον εἰσιὼν ποιήσομαι VLh καὶ μηχανήσομαι. V.

book 289a τὸ Δάτιδος μέλος RLh: Δᾶτις σατράπης Περσῶν RVLh βασιλέως Lh εὐδοκιμήσας κατά τινα χρόνον RVLh πολεμῶν VLh ἑλληνίζειν βουλόμενος εἶπεν “ἥδομαι καὶ χαίρομαι” καὶ ἐβαρβάρισεν· ἔδει γὰρ εἰπεῖν “χαίρω”. ἅμα δὲ οὕτως εἶπε πρὸς τὸ ὁμοιοκατάληκτον. RVLh

book 289b τινὲς Δᾶτιν λέγουσι τὸν τραγικὸν κακῶς ὑπονοοῦντες· ἐκεῖνος γὰρ υἱὸς ἦν Καρκίνου, οὗτος δὲ ὕπαρχος Περσῶν. RV

book 289c στοχάζεται, ὅτι εἴη ἂν διαμνημονευόμενος περὶ Δάτιδος τοῦ Πέρσου, ὅτι εἶπέ ποτε παρά τινα συνουσίαν “ἥδομαι καὶ χαίρομαι” ἑλληνίσαι τι θέλων—καὶ γὰρ καὶ περὶ παλαιοτέρου τινὸς ἐμφαίνεται—εἴη δὲ ὕπαρχος τοῦ βασιλέως τῶν ἐλθόντων ἐπὶ Μαραθῶνα, ὃν καὶ φυγεῖν φασι πολὺν χρυσὸν καταλιπόντα. V

book 289d Δᾶτις τῶν ἐν Μαραθῶνι παραταξαμένων Ἀθηναίοις στρατηγὸς Δαρείου, ὅν φασιν ἀντιποιήσασθαι τῆς Ἀττικῆς ὡς ἰδίας· ἀπὸ Μήδου γὰρ τοῦ Μηδείας καὶ Αἰγέως ἐδόκει εἶναι. V

book 289e Δᾶτις σατράπης Περσῶν βασιλέως, ὅστις συνεχέστερον πρεσβευόμενος εἰς Ἀθήνας ἠράσθη τῆς αὐτῶν πολιτείας· καὶ μείνας ἐκεῖ ἐβούλετο ἑλληνίζειν τῇ ὁμιλίᾳ, καὶ ἐβαρβάριζε καὶ τοὺς τρόπους καὶ τοὺς λόγους. V

book 289f

οὐχ εὕρηται τὸ χαίρομαι· αὐτὸ γὰρ τὸ χαίρω αὐτοπαθὲς ὂν προϋφήρπασεν αὐτοῦ τὸ σημαινόμενον. Lh

book 289g 〈Δᾶτις Πέρσης, ὃς ἐπετήδευσεν ἑλληνίζειν. ὃν λέγουσι φάναι “χαίρομαι” ἀντὶ τοῦ εἰπεῖν “χαίρω”. καὶ ἔστι δατισμός.〉 Su. II 8,20

book 295 δοίδυκα] ἀντὶ τοῦ “στρατηγόν”. R

book 296a καλῶς τοὺς χρῄζοντας τῆς εἰρήνης καλεῖ εἰς συμμαχίαν. V

book 296b ἀλλ’ ὦ γεωργοὶ R: πάντες γὰρ οὗτοι τῶν ἔργων ἐκωλύοντο πολέμου ὄντος καὶ ἠδικοῦντο, οἱ μὲν γεωργοὶ κωλυόμενοι γεωργεῖν, οἱ δὲ ἔμποροι ὑφ’ ὧν ἂν περιέτυχον τριηρῶν, οἱ δὲ τέκτονες ἀναγκαζόμενοι ναυπηγεῖν τριήρεις, οἱ δὲ δημιουργοὶ στρατεύεσθαι καὶ φρουρεῖν ἀναγκαζόμενοι, οἱ δὲ μέτοικοι εἰσπραττόμενοι μετοίκιον, καὶ οἱ ξένοι ἀπελαυνόμενοι, καὶ οἱ νησιῶται τοὺς φόρους εἰσπραττόμενοι καὶ ναῦς παρέχοντες. ἢ οὖν τούτων χάριν ἐμνημόνευσεν αὐτῶν ἢ βουλόμενος δεῖξαι ὅτι ἐπιβλαβὴς καθόλου ὁ πόλεμος. RV

book 297 δημιουργοὶ λέγονται κοινῶς οἱ δημόσιά τινα ἐργαζόμενοι· νῦν δὲ τοὺς ἀρχιτέκτονας λέγει, ἵνα ἐντέχνως ἑλκυσθῇ ἡ Εἰρήνη. V

book 299a διπλῆ καὶ ἔκθεσις εἰς στίχους τροχαϊκοὺς τετραμέτρους καταληκτικοὺς β′, οὓς ἔτι ὁ πρεσβύτης λέγει. ὑφ’ οὓς κορωνὶς τοῦ χοροῦ εἰσελθόντος, καὶ στίχοι ὁμοίως τροχαϊκοὶ τετράμετροι καταληκτικοὶ λς′, ὧν τελευταῖος μᾶλλον ἢ τὸ γῆρας ἐκδύς. V

book 299b alpha ἄμας λαβόντες R: ἐργαλείων ἐμνημόνευσεν ἐπίτηδες εἰς τὸ ἀνελκύσαι τοὺς λίθους τοὺς ἐπὶ τῷ ὀρύγματι, ἐν ᾧ ἦν Εἰρήνη, ὡς ἔφη ὁ Ἑρμῆς, RV ἵνα ἐλευθερώσῃ αὐτήν. V

book 299b beta ἄμας κτλ.] ἐργαλεῖά τινα ἐπιτήδεια πρὸς τὸ ἀνορύττειν. Lh

book 299c ἄμας: τὰς πυράμας. V

book 299d 〈καὶ παροιμία ἄμας ἀπῄτουν, οἱ δ’ ἀπηρνοῦντο σκάφας.〉 Ald

book 300a ἀγαθοῦ δαίμονος Lh: φασὶ VLh γάρ, V ὅτι δειπνήσαντες VLh μὲν V ἐπερρόφουν ἀγαθοῦ δαίμονος, ἀπαλλάττεσθαι δὲ μέλλοντες ἔπινον Διὸς σωτῆρος. ὡς εἰ ἔλεγε· νῦν γὰρ σπεῖσαι ἢ πιεῖν πάρεστιν VLh ἡμῖν V ἀγαθοῦ δαίμονος πόμα. VLh

book 300b ἀντὶ τοῦ “νῦν γὰρ ἔστιν ἡμῖν ὑπὲρ ἀγαθῆς τύχης καμεῖν καὶ ἁρπάσαι τὴν Εἰρήνην”. V

book 300c Lh

book 301a δεῦρο πᾶς χώρει: εἴσθεσις διπλῆς ἀμοιβαίας. οἱ δὲ στίχοι εἰσὶ τροχαϊκοὶ τετράμετροι καταληκτικοὶ λη′. καὶ ἡ ἔκθεσις ταύτης κώλων ὁμοίων τροχαϊκῶν ζ′· ὧν τὰ ε′ δίμετρα ἀκατάληκτα, LhAld

book 301a alpha τὸ ς′ μονόμετρον, ὃ καὶ παρατέλευτον ὀνομάζεται, τὸ δὲ ζ′ δίμετρον καταληκτικὸν ἰαμβικὸν ἤτοι ἑφθημιμερές. ἐπὶ τῷ τέλει δύο διπλαῖ ἔξω νενευκυῖαι, ἡ μὲν ἐν ἀρχῇ τοῦ κώλου, ἡ δὲ κατὰ τὸ τέλος. Lh

book 301a beta 〈τὸ ς′ παρατέλευτον, τὸ ζ′ ἑφθημιμερὲς ἰαμβικόν. ὑφ’ ὃ αἱ συνήθεις δύο διπλαῖ.〉 Ald

book 301b ※ Lh

book 302a [para]302] εἰς ὁμόνοιαν ἄγει— τοὺς Ἕλληνας λεληθότως διὰ τοῦδε τοῦ ἔπους. R

book 302b ὦ Πανέλληνες Lh: λεληθότως εἰς ὁμόνοιαν αὐτοὺς περιάγει ὁμοφρονῆσαι πάντας τοὺς Ἕλληνας ἀξιῶν VLh καὶ ὁμοθυμαδὸν τῆς εἰρήνης ἀντιλαβέσθαι. διὰ τοῦτο καὶ μιᾷ προσηγορίᾳ αὐτοὺς περιέλαβε δηλῶν τὸ συγγενὲς καὶ δυσωπῶν αὐτούς, ὡς οὐδὲ τῇ ὀνομασίᾳ διακεκριμένοι πολεμοῦσι πρὸς ἑαυτούς. V

book 303a κακῶν φοινικικῶν Lh: οἷον αἱματωδῶν, ἀπὸ τῆς τοῦ αἵματος χροιᾶς. VLh καὶ Ὅμηρος φοινίσσετο δ’ αἵματι γαῖα. V

book 303b τῶν V πολεμικῶν. VLh

book 303c φοινικὶς χλαμὺς πολεμική. RVLh

book 303d ἀντὶ τοῦ “τῶν ναυμαχικῶν”. Φοίνικες γὰρ λέγονται κρατεῖν ἐν ταῖς ναυμαχίαις. V

book 303e alpha λείπει τὸ “ἡσυχάσομεν”. V

book 303e beta λέγει ἀντὶ τοῦ “ἡσυχάσωμεν”. Lh

book 304alpha μισολάμαχος] μισοπόλεμος. φιλοπόλεμος γὰρ ἦν ὁ Λάμαχος στρατηγὸς ὤν. R

book 304beta ἀκολαμάχου· ἀλλοτρία τῶν Λαμάχου τρόπων. φιλοπόλεμος γὰρ οὗτος, ὡς καὶ ἐν Ἀχαρνεῦσί φησιν. V

book 308 φιλαμπελωτάτην R: συντόμως ἐκ τῆς ἀμπέλου τὴν περὶ τὰς γεωργίας ἐπιμέλειαν ἐδήλωσεν εἰρήνης οὔσης· πολέμου γὰρ ὄντος τὸ ἐναντίον ἠμελοῦντο. RV

book 310a ἐκζωπυρήσετ’ RLh: ἀντὶ τοῦ “ἀνάψετε RVLhbis τὸν πόλεμον ἤδη κατεσβεσμένον”. ἐκζωπυρῆσαι RVLh

book 310a alpha δέ ἐστι κυρίως τὸ ἐκ μικροῦ πυρὸς φυσῶντα μεγάλην φλόγα κινῆσαι. RV

book 310a beta δὲ κυρίως ἐστὶ τὸ ἐκ μικροῦ σπινθῆρος φυσσῶντας μεγάλην φλόγα ἀνάψαι. Lh

book 310b ἡ μεταφορὰ ἀπὸ τῶν ἀνθράκων· καὶ ὁ πόλεμος γὰρ καυστικός. RV

book 310c ἀνεγείρητε. V

book 312a οὐ γὰρ ἦν ἔχοντας RLh: οὐ γάρ, φησί, πολεμικὸν ἦν τὸ κήρυγμα, ἀλλ’ εἰρηνικόν. ἐκ τοῦ παρακολουθοῦντος δὲ τὸν πόλεμον δηλοῖ. RVLh

book 312b σιτί’ ἡμερῶν τριῶν R: ἀντὶ τοῦ “πολεμεῖν”. οἱ γὰρ πολεμοῦντες πρὸς τρεῖς ἡμέρας λαμβάνουσι σιτία. RV

book 312c εἰς τὸν πόλεμον. ἔθος γὰρ ἦν τοῖς στρατηγοῖς ἀναλογιζομένοις, πόσας ἔμελλον πολέμῳ σχολάζειν καὶ ἔξω κατέχειν τὸν στρατόν, κηρύσσειν τοσούτων ἡμερῶν σιτία ἐπάγεσθαι τριῶν μόνων ἡμερῶν ἐκ δημοσίων αὐτοῖς χορηγούμενα. RV

book 312d 〈ἔχοντας σιτί’ ἡμερῶν τριῶν: ἀντὶ τοῦ “πολεμεῖν μέλλοντας”. οἱ γὰρ πολεμοῦντες πρὸς γ′ ἡμέρας ὡρίζοντο παρὰ τῶν στρατηγῶν ἔχειν σιτία εἰς τὸν πόλεμον. ἐχορηγοῦντο δὲ αὐτὰ ἐκ τῶν δημοσίων.〉 Su. II 496, 8

book 313a εὐλαβεῖσθε νῦν ἐκεῖνον: πρὸ ὀφθαλμῶν ἔχετε, φησί, καὶ δεδίττεσθε τὸν Κλέωνα, μὴ ἐμποδὼν τῇ εἰρήνῃ γένηται. VLh καὶ Πλάτων δὲ ὁ κωμικὸς Κέρβερον αὐτὸν ὠνόμασεν. V

book 313b τὸν κάτωθεν Κέρβερον R: τὸν Κλέωνα λέγει· ἦν γὰρ ἀποθανών. RLh

book 313c φασὶ χωρὶς τοῦ ν τὸ κάτωθεν ἐπίρρημα λέγεσθαι, ἵνα ᾖ Δωριέων μᾶλλον οἰκεῖον. χρῆται δὲ τῷ ὁμοίῳ καὶ Πίνδαρος ἄντροθε γὰρ νέομαι παρὰ Χαρικλοῦς καὶ Φιλίνας. V

book 314a παφλάζων R: παφλάζειν ἐστὶ τὸ λαλοῦντά τινα κρατεῖσθαι καὶ ἀνακόπτεσθαι. ὡς οὖν τοῦ Κλέωνος οὕτω διαλεγομένου τοῦτό φησιν. RV

book 314b διὰ τὸ ταραχῶδες τοῦ Κλέωνος ἐχρήσατο τῷ παφλάζειν, RVLh κυρίως σημαίνοντι τὴν κεκινημένην θάλατταν. RV

book 314c ἡνίκ’ ἐνθάδ’ ἦν] τουτέστιν Lh ὅτε ἔζη RLh καὶ σὺν ἡμῖν ἦν. Lh

book 315 ’ξελκύσαι: ὅτι Lh περιττὸν τὸ “μή”. ἤρκει γὰρ εἰπεῖν. VLh ὅτι Lh ἐμποδὼν γένηται ὥστε ἐξελκύσαι. VLh ὅμοια καὶ τὰ τοιαῦτα· “ἀπαγορεύω σοι μὴ ἐξιέναι”. V

book 317a βέλτιον ἂν εἴη καὶ ἀναγινώσκεσθαι καὶ τῷ ἑξῆς συνάπτεσθαι, ἵνα τοῦτο μὲν εἴη ὁ χορὸς λέγων. κατὰ στίχον τε γάρ ἐστι τὸ ἀμοιβαῖον καὶ τῶν ἡδομένων ἀκούειν τὸ “ἰοὺ ἰού” ἀναφωνῆσαι. V

book 317b alpha

τὸ “ἰοὺ ἰού” τινὲς τοῦ χοροῦ φασιν RV εἶναι κατὰ στίχον εἶναι φάσκοντες ἀμοιβαῖον, καὶ ὅτι καὶ τῶν ἡδομένων ἐστὶ τὸ λέγειν αὐτό. V ἐὰν οὖν εἴη τοῦ χοροῦ, περισπᾶται. RV

book 317b beta ἰοῦ ἰοῦ: ἡδομένων ἐστὶ τοῦτο· διὸ καὶ περισπᾶται. LhAld 〈ὡς τοῦ χοροῦ τοῦτο λέγοντος.〉 Ald

book 324 οὐ σχηματίζειν VLh βούλομ’ V: οὐ κατὰ τὴν ἐμὴν προαίρεσιν, φησίν, ἡ ὄρχησις γίνεται, ἀλλ’ ἤδη διὰ τὴν ἄσχετον ἡδονὴν αὐτόματα χορεύει μου τὰ σκέλη. RVLh χρησίμως δὲ πρὸς τὸ πεῖσαι αὐτοὺς τὴν εἰρήνην ἑλέσθαι οὕτως ὑπεράγαν αὐτῇ χαίροντα πεποίηκε τὸν χορόν. RV

book 328a ἓν μὲν οὖν τουτί μ’ ἔασον Lh: ἓν σκέλος. VLh

book 328b δεικτικῶς. VLh

book 328c ὑφ’ ἡδονῆς ὁ χορὸς εἰς ὄρχησιν ἐτράπη. VLh

book 328d ἓν μόνον ἔασόν με σχῆμα ποιῆσαι. VLh

book 333a συγχωρῶ RVLhbis, φησί, Lhpr. τοῦτο ὑμῖν, ὥστε μετὰ τοῦτο μηκέτι ἐνοχλεῖν με. VLh

book 333b ὥστε μὴ λυπεῖν Lh: ἐμὲ δηλονότι. VLh

book 335 ἡ μεταφορὰ ἀπὸ τῶν ὄνων· χαίροντες γὰρ πέρδονται. RVLh

book 336a ἥδομαι, φησίν, ἐκφυγὼν τὴν ἀσπίδα ἢ ἐκδὺς τὸ γῆρας. RV

book 336b τὸ γῆρας ἐκδὺς] 〈ἀντὶ τοῦ “ἐάσασ”〉 Su. ἡ μεταφορὰ ἀπὸ τῶν ὄφεων Lh Su. 〈τῶν ἐκδυομένων τὸ γῆρας.〉 Su. IV 87, 21

book 337a ἴστε πω σαφῶς] διπλῆ· ἕπεται γὰρ μέλος ἀποπρο{***}ρους, οὗ ἡ μὲν προῳδός ἐστιν ἐκ διστιχίας ὁμοίως ἐκκειμένης καὶ ἐν εἰσθέσει κώλων ζ′ τροχαϊκῶν μετὰ διμέτρων ἀκαταλήκτων ε′, καταληκτικὸν δὲ τὸ τελευταῖον, μονόμετρον δὲ τὸ παρατέλευτον. ἔστι δὲ τὸ τέλος ἰοὺ ἰοὺ κεκραγέναι. V

book 337b —˙ Lh

book 340 δ’] γάρ. Lh

book 341 κινεῖν] συνουσιάζειν. Lh

book 342a ἐς πανηγύρεις Lh θεωρεῖν VLh: πέμπεσθαι θεωροὺς VLhbis εἰς τὰς πανηγύρεις, VLh κατὰ θεωρίαν παραγίνεσθαι. Lh

book 342b θεωροὺς ἐκάλουν τοὺς ἀπὸ τῶν πόλεων δημοσίᾳ ἐκπεμπομένους VLh εἰς θεωρίαν τῶν πανηγύρεων καὶ τοὺς εἰς μαντεῖον ἀφικνουμένους. Lh

book 342c συνθύσοντας καὶ συμπανηγυρίσοντας. V

book 343a κοτταβίζειν: παίγνιον ἦν παρὰ Ἀθηναίοις τοιοῦτον. ῥάβδος ἦν μακρὰ πεπηγμένη ἐν τῇ γῇ, καὶ ἑτέρα ἐπάνω αὐτῆς κινουμένη ὡς ἐπὶ ζυγίου. εἶχε δὲ πλάστιγγας δύο ἐξηρτημένας καὶ κρατῆρας δύο ὕδατος ὑποκάτω τῶν πλαστίγγων, καὶ ὑπὸ τὸ ὕδωρ ἀνδριὰς ἦν χαλκοῦς κεχρυσωμένος. τοῦτο δὲ ἦν ἐν τοῖς συμποσίοις. καὶ πᾶς τῶν παιζόντων ἀνίστατο ἔχων φιάλην γέμουσαν ἀκράτου, καὶ μηκόθεν ἱστάμενος ἔπεμπεν ὅλον τὸν οἶνον ὑπὸ μίαν σταγόνα εἰς τὴν πλάστιγγα, ἵνα γεμισθεῖσα βαρηθῇ καὶ κατέλθῃ καὶ RV κατελθοῦσα V κρούσῃ εἰς τὴν κεφαλὴν τοῦ ἀνδριάντος τοῦ ὑπὸ τὸ ὕδωρ κεκρυμμένου, καὶ ποιήσῃ ἦχον. καὶ εἰ μὲν δυθῇ ἐκ τοῦ οἴνου, ἐνίκα καὶ ᾔδει, ὅτι φιλεῖται RV αὐτὸς V ὑπὸ τῆς ἐρωμένης· εἰ δὲ μή,

book 343a ἡττᾶτο. ἐλέγετο δὲ ὁ ἀνδριὰς ὁ ὑπὸ τὸ ὕδωρ RV κεκρυμμένος V μάνης. RV

book 343b κοτταβίζειν V: παίζειν. VLhbis

book 343c εἰς χαλκᾶς φιάλας, αἳ καλοῦνται λάταγες, ἀνέρριπτον ἐμβάλλοντες τὸ πόμα. καὶ εἰ ἐγένετο μείζων ψόφος, ἐδόκουν ὑπὸ τῶν ἐραστῶν ἐρᾶσθαι. V

book 343d κότταβος λέγεται τὸ λεῖμμα τοῦ ποτηρίου, ὃ ἐμβάλλουσιν εἰς τὰς λάταγας. V

Eulogikon public reading copy · View original HTML at eulogikon.org

book 344a συβαρίζειν: Καλλίστρατος V τρυφᾶν, RVbisLhbis ἀπὸ τῆς συβαριτικῆς τρυφῆς· RV Ἀρτεμίδωρος ἁπλῶς θορυβεῖν. καὶ Φρύνιχος· πολὺς δὲ συβαρισμὸς αὐλητῶν ἦν. φασὶ δὲ τοὺς Συβαρίτας εἰς τοσοῦτον τραπέζῃ πολυτελεῖ χρᾶσθαι, ὥστε καὶ εἰς παροιμίαν φέρεσθαι ἐκνενίκηκεν ἡ συβαριτικὴ τράπεζα, ἡ πολυτελὴς καὶ δαψιλής. V

book 344b πεποίηται ἢ παρὰ τὰ συβάρεια ἐπιφθέγματα, ἅπερ ἐστὶ παρ' Ἐπιχάρμῳ, ἢ παρὰ τὴν τῶν Συβαριτῶν τρυφήν· λέγουσι γὰρ τοὺς Συβαρίτας πολυτελέσι τραπέζαις χρᾶσθαι. V

book 345 〈 〉 Lh

book 346a διπλῆ καὶ 〈δυὰσ〉 τῶν ὁμοίων ἑκκαιδεκακώλων, ὧν ὁ μὲν πρῶτός ἐστι στίχος τροχαϊκὸς ἐκκείμενος. καὶ δύο ἐν εἰσθέσει κῶλα παιωνικὰ τρίρρυθμα ἀκατάληκτα. κἀν ἐπεκθέσει τροχαϊκοὶ β' τετράμετροι καταληκτικοί. 〈εἶτα ἐν ἐπεισθέσει〉 κῶλα ς', ὧν τὰ β' παιωνικὰ δίρρυθμα, τὸ δὲ τρίτον τροχαϊκὸν ἑφθημιμερές, τὰ δὲ λοιπὰ τοῖς τρισὶν ὅμοια ἕκαστον ἑκάστῳ. εἶτα ἐν ἐκθέσει στίχος τροχαϊκὸς ὁ ἐς Λύκειον κἀκ Λυκείου σὺν δορὶ σὺν ἀσπίδι, κἀν εἰσθέσει κῶλα δ' παιωνικά, τρία μὲν δίρρυθμα, τὸ δὲ δ' τρίρρυθμον τὸ εἴλετ' ἀγαθή 〈τισ〉 ἡμῖν τύχη. V

book 346b εἰ γάρ μοι γένοιτ' ἰδεῖν: κορωνὶς καὶ εἴσθεσις χοροῦ μονοστροφικὴ στίχων καὶ κώλων ιε', ὧν ὁ α' τροχαϊκὸς τετράμετρος καταληκτικός· τὸ β' LhAld

book 346b alpha τροχαϊκὸν δίμετρον καταληκτικὸν εὐριπίδειον· Lh

book 346b beta 〈ἑφθημιμερές·〉 Ald

book 346b ὁ γ' παιωνικὸς τετράμετρος ἀκατάληκτος ἐκ παιώνων καὶ κρητικῶν· LhAld

book 346b alpha ὁ δ' καὶ ε' τροχαϊκοὶ Lh ὅμοιοι τῷ α'· τὸ ς' LhAld ὅμοιον Lh τῷ β'· τὸ ζ' παιωνικὸν LhAld δίμετρον ἀκατάληκτον καθαρόν, ὃ καλεῖται δίρρυθμον· τὸ η' ὅμοιον τῷ β'· τὸ θ' ὅμοιον τῷ ζ'· ὁ ι' παιωνικὸς ὅμοιος τῷ γ'· τὸ ια' τροχαϊκὸν δίμετρον ἀκατάληκτον· τὸ ιβ' ὅμοιον τῷ ζ'· ὁ ιγ' ὅμοιος τῷ γ'· τὸ ιδ' ὅμοιον τῷ ζ'· τὸ ιε' παιωνικὸν τρίμετρον ἀκατάληκτον ἐκ παίωνος καὶ κρητικῶν. ἐπὶ τῷ τέλει κορωνίς. Lh

book 346b beta 〈καὶ ὁ ι' καὶ ιγ'· οἱ ἑξῆς δύο〉 Ald 〈δὲ καὶ η'〉 Ald 〈δίρρυθμον καὶ τὸ θ' καὶ ιβ' καὶ ιδ'· τὸ δὲ ια' δίμετρον τροχαϊκόν· τὸ τελευταῖον παιωνικὸν τρίρρυθμον. ὑφ' ὃ κορωνίς.〉 Ald

book 346c στροφὴ κώλων ιε'. Lh

book 347 ※ Lh

book 348a ἰδίως στιβάδας τὰς χαμευνίδας ἐκάλουν οἱ παλαιοί. ὅπερ ἦν πάσχειν ἐπάναγκες τοῖς πολεμοῦσιν, ὑπαιθρίως ταλαιπωρεῖν καὶ χαμαικοιτεῖν. V

book 348b τὰς χαμευνίδας, ἃς ὑφίσταντο οἱ πολεμοῦντες. R

book 348c στιβάδας: ἐπεὶ οἱ στρατιῶται χαμαικοιτοῦσιν. V

book 348d στιβάδας] χαμεύνας. Lh

book 348e ἀναγράφεται ὁ Φορμίων δυσὶ ναυμαχίαις νικῆσαι Λακεδαιμονίους στρατηγήσας. λιτὸς δὲ οὗτος καὶ στρατιωτικός. διὸ καὶ "στιβάδας" εἶπε Φορμίωνος. οἱ γὰρ τὰ πολεμικὰ ἐξασκησάμενοι ὑπὸ γυμνασίων καὶ πόνων εἰώθασι χαμαικοιτεῖν. καὶ Διονύσιος ἐν Ταξιάρχοις παρ' Εὐπόλιδι μανθάνων παρὰ τῷ Φορμίωνι τοὺς τῶν στρατηγῶν καὶ πολέμων νόμους φησίν ὡς οὐκέτ' ἂν φύγοιμι στιβάδας ἐξ ὅσου φάγον. ὁ Φορμίων δὲ οὗτος Ἀθηναῖος τῷ γένει, υἱὸς Ἀσωπίου· ὃς καθαρῶς στρατηγήσας πένης ἐγένετο. ἀτιμωθεὶς δὲ τῷ μὴ δύνασθαι τὰς ρ' μνᾶς τῆς εὐθύνης ἀποδοῦναι ἐν ἀγρῷ διέτριβεν, ἕως Ἀκαρνᾶνες στρατηγὸν αὐτὸν ᾔτουν. ὁ δὲ οὐχ ὑπήκουσε φάσκων μὴ ἐξεῖναι τοῖς ἀτίμοις. ὁ δὲ δῆμος βουλόμενος λῦσαι τὴν ἀτιμίαν ἀπεμίσθωσεν αὐτὸν τῶν ρ' μνῶν τοῦ Διονυσίου, ὡς Ἀνδροτίων ἐν γ' Ἀττικῶν. αὐτοῦ μέμνηται ὁ κωμικὸς ἐν Ἱππεῦσι καὶ Νεφέλαις καὶ Βαβυλωνίοις, Εὔπολις Ἀστρατεύτοις. ὁ δὲ δεύτερος ἦν κωφός·

μέμνηται καὶ Στράττις. τρίτος μοιχός· Κρατῖνος Ἀταλάντῃ. τέταρτος Κροτωνιάτης ἀρχαῖος· Κρατῖνος Τροφωνίῳ. πέμπτος ἀρχαῖος Ἀθηναῖος

book 348e μετὰ Σόλωνα ἄρξας· Εὔπολις ἐν Δήμοις. V

book 348f alpha περὶ τοῦ Φορμίωνος πολλαχοῦ εἴρηται, ὅτι ἀγαθὸς ἐγένετο στρατηγός. καὶ ἐν τοῖς Ταξιάρχοις δὲ φέρεται ὡς ἐπίπονος. R

book 348f beta ἃς ὑπέμεινε VLh Φορμίων. πολλάκις δὲ εἴρηται περὶ τούτου, ὅτι ἀγαθὸς ἐγένετο στρατηγός. ἐν δὲ τοῖς Ταξιάρχοις φέρεται ὡς ἐπίπονος. V

book 348g Φορμίων] στρατηγὸς ἦν οὗτος. Lh

book 348h φιλοπόλεμος γὰρ καὶ αὐστηρὸς ὁ Φορμίων. V

book 352a καὶ πολὺ νεώτερον Lh: ἐπειδὴ γέρων VLh ἦν Lh ὁ χορός, VLh οἱ δὲ γέροντες πραγμάτων καταδεέστεροι, V λέγει· ὅτι πολὺ νεώτερον ἔχοντα τρόπον θεάσῃ με, ὅ ἐστι παίζοντα. VLh

book 352b καὶ πολὺ νεώτερον] ἤγουν παίζοντα ὥσπερ νέον. Lh

book 353a εἰκότως εἰπὼν ὅσα αὐτοῖς ἀγαθὰ ἐκ τῆς εἰρήνης ὑπάρχει, πάλιν ἐπανέδραμεν εἰς τὰ τοῦ πολέμου δυσχερῆ προτρεπόμενος αὐτοὺς εἶξαι τῷ Τρυγαίῳ. V

book 353b καὶ γὰρ ἱκανὸν χρόνον RLh: δέκα τρία γὰρ ἔτη εἶχον πολεμοῦντες. RVLh

book 356a πολλήν, φησί, θλίψιν ὑπεμείναμεν εἰς τὸ Λύκειον εἰσιόντες καὶ συναγόμενοι, καὶ πάλιν ἐξιόντες ἐκ τοῦ Λυκείου καὶ ἀπιόντες εἰς τὸν πόλεμον. VLh

book 356b εἰς Λύκειον R: Λύκειον γυμνάσιον Ἀθήνησιν, ὅπου πρὸ τοῦ πολέμου ἐδόκουν γυμνάζεσθαι. RVLh

book 356c πρὸ γὰρ τῶν ἐξόδων ἐξοπλίσεις τινὲς ἐγίνοντο ἐν τῷ Λυκείῳ διὰ τὸ παρακεῖσθαι τῇ πόλει καὶ ἀποδείξεις τῶν μᾶλλον πολεμικῶν ἀνδρῶν. RV

book 356d δορὶ σὺν ἀσπίδι: Ἀχαιοῦ ἐστιν ἐκ Μώμου. οὐδὲν δὲ χεῖρον ὁλόκληρον θεῖναι τὸ ἰαμβεῖον, ὅπερ οὕτως ἔχει Ἄρης ὁ ληστὴς σὺν δορὶ σὺν ἀσπίδι. V

book 360 Lh

book 361a φέρε δὴ κατίδω LhAld: σύστημα κατὰ περικοπὴν ἀνομοιομερὲς LhbisAld

book 361a alpha στίχων ἰαμβικῶν τριμέτρων ἀκαταλήκτων κβʹ, ὧν τελευταῖος μὴ νῦν λακήσῃς λίσομαί ς' [para]ὦ῾ρμίδιον. Lh ἐπὶ τῷ τέλει παράγραφος. LhAld

book 361a beta 〈ἰαμβείων κβʹ.〉 Ald

book 361b ※ Lh

book 362 ὦ μιαρὲ Lh: ὁ Ἑρμῆς ἐλθὼν καὶ καταλαβὼν τὴν Εἰρήνην ὡς δῆθεν ἀνασπωμένην καὶ ἐπὶ τούτῳ χαλεπαίνων λέγει· τί τοῦτο τολμᾷς; RLh

book 363a οὐδὲν πονηρὸν R: ὅτι πονηρός. ἄδηλον RV δέ, V πότερον κύριον ὄνομα ἢ ἐπώνυμον. Ἀμμώνιος δὲ ὄνομα ἀναγράφει, καί φησιν, ὅτι Λάκων καὶ Κιλλικῶν ἐκαλεῖτο. ὃς προδέδωκε Σάμον· οἱ δὲ Μίλητον. εἰπὼν δὲ "οὐδὲν πονηρόν" παρὰ προσδοκίαν ἐπήγαγε RV τὸ R "ἀλλ' ὅπερ καὶ Κιλλικῶν", ὡσεὶ εἶπεν "οὐδὲν κακὸν ποιῶ, ἀλλ' ἱεροσυλῶ". RV ὕστερον μὲν οὖν παρὰ Θεαγένους εἰσῆλθεν ὠνησόμενος κρέα, κἀκεῖνος ὑποδεῖξαι ἐκέλευσε, πόθεν κόψαι θέλει. προτείνας δὲ τῇ χειρὶ ἀπέκοψεν ἐ τὴν ἑαυτοῦ χεῖρα καὶ εἶπε· ταύτῃ σου τῇ χειρὶ οὐ μὴ προδώσῃς πόλιν ἑτέραν. μέμνηται δὲ καὶ Καλλίμαχος·

book 363a μὴ σύ γε, Θειόγενες, κόψῃς χέρα Κιλλικόωντος. R

book 363b

παρὰ τὴν πονηρίαν· ἐπὶ γὰρ πονηρίᾳ διαβάλλεται. Ἀπολλώνιος δὲ ὄνομα μὲν αὐτῷ φησιν εἶναι Ἀχαιὸν παρωνύμως Κιλλικῶντα, τὸ γένος Μιλήσιον. οὗτός ἐστιν ὁ προδοὺς Μίλητον Πριηνεῦσιν. V

book 363c οὗτος Ἀχαιὸς ἐκαλεῖτο, Μέροπος, υἱός, Μιλήσιος γένος, προδοὺς τὴν πατρίδα τοῖς Πριηνεῦσιν. Κιλλικῶν δὲ ἐκλήθη ἀπὸ Κιλίσσης τροφοῦ. V

book 363d οὐδὲν πονηρὸν: οὐκ οἶδ’ ὅπως φησὶν οὐδὲν πονηρὸν ποιεῖν ταῦτα πράττειν εἶναι, ἅπερ καὶ Κιλλικῶν. ὁ γάρ τοι Κιλλικῶν ἐπὶ πονηρίᾳ διαβόητός ἐστιν. φασὶ γὰρ αὐτὸν οἱ μὲν Σάμον ἢ Μίλητον προδοῦναι Πριηνεῦσιν. Θεόφραστος δὲ ἐν τῷ ιγʹ τῶν ἱστοριῶν τῶν ἑαυτοῦ Σύρον φησὶν αὐτὸν τὴν νῆσον προδεδωκέναι Σαμίοις. πυνθανομένων δὲ πολλάκις αὐτοῦ τινων, τί μέλλοι ποιεῖν, ἔλεγε πάντα ἀγαθά. πάντα οὖν ἀγαθά, φησί, ποιῶ, ὡς ἔφη καὶ Κιλλικῶν. τῆς δὲ προδοσίας τοιαύτην ὑποσχεῖν τιμωρίαν. Θεαγένην τινὰ ἄνδρα σύριον, τῆς νήσου τῆς ὑπὸ τοῦ Κιλλικῶντος προδοθείσης πολίτην, πρὸ πολλοῦ μετοικήσαντα εἰς τὴν Σάμον κρεοπωλεῖν καὶ οὕτως ἀπάγειν τὸν ἑαυτοῦ βίον. ἀγανακτήσαντα δὴ ἐπὶ τῇ προδοσίᾳ τῆς πατρίδος ἐπιστάντος τοῦ Κιλλικῶντος ὠνήσασθαι παρ’ αὐτοῦ κρέας δοῦναι κρατεῖν αὐτῷ, ἵνα ἀποκόψῃ τὸ περιττόν. τοῦ δὲ πεισθέντος καὶ κρατοῦντος, τοῦ Κιλλικῶντος, προφάσει τοῦ πλεονάζον ἀποκόψαι τὸ κρέας ἐπανατεινάμενον τὴν κοπίδα κόψαι τὴν χεῖρα τοῦ Κιλλικῶντος καὶ εἰπεῖν· ὡς ταύτῃ τῇ χειρὶ ἑτέραν οὐ προδώσεις πόλιν. μέμνηται δὲ καὶ Καλλίμαχος·

book 363d μὴ σύ γε, Θειόγενες, κόψῃς χέρα Κιλλικόωντος. ἱστορεῖ δὲ καὶ Λέανδρος ἐν δευτέρῳ Μιλησιακῶν προδοῦναι Μίλητον καί, ὅτε ἀνέῳξε τὰς πύλας, τῶν πολεμίων πυνθανομένου τινός, ὅ τι τοῦτο ἐποίησεν, ἀποκρίνασθαι· ἀγαθὰ Κιλλικῶν. V

book 363e (= 363d in brevius redactum) ἀλλ’ ὅπως καὶ Κιλλικῶν: τοῦτόν φασι τὴν νῆσον προδεδωκέναι Μίλητον τοῖς Πριηνεῦσιν. πυνθανομένων (5) … ἀγαθά (5). Θεαγένην δέ τινα (7) … προδοθείσης (8) μετοικήσαντα (8) … κρεοπωλεῖν (8). ἐπιστάντος δὲ τοῦ (10) … περιττόν (11). καὶ ἀποτεινάμενον τὴν (12) … πόλιν (13). Lh

book 363f Κιλλικών] οὗτος προδότης γέγονε Μιλήτου. Lh

book 364a οὐκοῦν ἢν λάχω: παίζει πρὸς τὸν Ἑρμῆν. RVLh

book 364b ἐπειδή, ὅταν πολλοὺς κατεδίκαζον οἱ Ἀθηναῖοι ἀποθανεῖν, οὐκ εἰς μίαν ἡμέραν πάντας ἐφόνευον, ἀλλ’ ἕκαστος ἐκληροῦτο καθ’ ἡμέραν καὶ τῷ κληροῦντι θάνατος ἐπῄει· καθ’ ἡμέραν οὖν εἷς μόνος ἐτελεύτα. ἔστι γὰρ ὅτε μετεμελοῦντο καὶ τοὺς λοιποὺς ἔσωζον. ἐπεὶ οὖν οἱ κλῆροι Ἑρμοῦ, παίζων τοῦτο λέγει. VLh

book 364c ἀποθνήσκω, ἐὰν λάχῃ μοι. ὡς ἐπὶ τῶν καταδικαζομένων. RV

book 364d ἢν λάχω] ὅτε ὁ κλῆρος ὁ ἐμὸς ἔλθῃ. Lh

book 364e εἰ ὥρισται, φησί, πάντως ἀποθανεῖν, κληρωθῆναι πρότερόν με δεῖ. V

book 365a οἶδα γάρ, ὅτι ὡς Ἑρμῆς ὑπάρχων ποιήσεις με κληρῶσαι. RV

book 365b Ἑρμῆς γὰρ ὢν κλήρῳ: οἱ γὰρ κλῆροι τοῦ Ἑρμοῦ ἱεροὶ δοκοῦσιν εἶναι· ὅθεν καὶ τὸν πρῶτον κληρούμενον Ἑρμῆν φασι δεῖν καλεῖν. V

book 367 〈ἠμπόληκά πω: ἐνεπορευσάμην.〉 Ald

book 367-368 ὅρα, ὅτι οὕτως ὑπήκουσεν ὡς εἰρηκότος αὐτοῦ· ὅτι στρατεύει ἢ ἀποδημεῖς. οὐδὲν οὖν, φησίν, ὠνησάμην ὡς ἀποδημήσων. V

book 368 οὔτ’ ἄλφιτ’ R: ὡσεὶ ἔφη “ἀποδημῶν” ἢ “στρατευόμενος”. χαριέντως δὲ καὶ παρ’ ὑπόνοιαν εἶπε τὸ “ὡς ἀπολούμενος”. οἱ γὰρ στρατευόμενοι τυρὸν καὶ ἄλφιτα ἑαυτοῖς ὠνοῦντο. RV

book 369

καὶ μὴν ἐπιτέτριψαί γε R: τοῦτο VLh τὸ "ἐπιτέτριψαι" RV ποτὲ μὲν ἐπὶ ὑπερηφανίᾳ τάττεται, ποτὲ δὲ ἐπὶ κατάρᾳ· ἐφ' ᾗ καὶ νῦν. RVLh

book 370alpha πάλιν ἀστειεύεται τοῦ θεοῦ τὴν ὀργὴν καταπραῧναι διὰ τοῦτο βουλόμενος. R

book 370beta ἀγαθὸν: πάλιν ἐνταῦθα τῇ ἀστειότητι ἐχρήσατο, καὶ ὥσπερ χαριεντίζεται τὸν θεὸν τῷ γελοίῳ αὐτοῦ τὴν ὀργὴν καταπραΰνειν πειρώμενος. παίζων οὖν εἶπε τὸ "ἀγαθὸν τοσουτονὶ λαβών". V

book 371 προεῖφ' ὁ Ζεὺς] ἀντὶ τοῦ "ὥρισε". κατ' ἐρώτησιν. Lh

book 374alpha ἢ ὅτι Δημήτηρ χοιροκτόνος, ἢ ἐπεὶ οἱ μυούμενοι χοῖρον ἔθυον. R

book 374beta ἐς χοιρίδιον: ὅτι ἡ Δημήτηρ χοιροκτόνος ἦν, ἢ ὅτι τοῖς μυουμένοις ἐστὶν ἔθος χοιρίδιον θύειν ἐξ ἀνάγκης. V

book 375a alpha δοκοῦσιν οἱ μυούμενοι εἰς τοὺς εὐσεβεῖς τάττεσθαι· ὡς καὶ ἐν Βατράχοις λέγει. R

book 375a beta ἐπεὶ δοκοῦσιν οἱ μεμυημένοι ἐν Ἅιδου πλέον ἔχειν τῶν ἀμυήτων· ὥσπερ οὖν κἀν τοῖς Βατράχοις αὐτὸς λέγει καὶ πολλοὶ καὶ 〈ἄλλοι〉 τοῦτο ἱστοροῦσιν. V

book 375b πρὶν μὲν οὖν ἀποθνήσκειν μυηθῆναι βούλομαι. V

book 376 ὦ Ζεῦ RLh κεραυνόβροντα: τοῦτο ὁ Ἑρμῆς φησιν ἐπιβοώμενος τὸν Δία διὰ τὸ ἐπ' αὐτοφώρῳ καταλαβεῖν τοὺς ἀνασπῶντας τὴν Εἰρήνην. RVLh

book 378 ναὶ πρὸς τῶν κρεῶν RΓLh: γέλωτος χάριν τοῦτο· RVΓLh ἀντὶ γὰρ τοῦ εἰπεῖν "πρὸς τῶν θεῶν" "κρεῶν" ἔφη, Lh ἵνα δείξῃ καὶ τοὺς θεοὺς ἡττωμένους ὑπὸ λήμματος. RVΓLh

book 380 ἀμαλδυνθήσομαι: ἀντὶ τοῦ "ἀφανισθήσομαι". RVΓLh

book 380alpha παρατηρητέον οὖν πρὸς τοὺς παρ' Ὁμήρῳ ἐξηγουμένους RVΓ τεῖχος ἀμαλδύνας

book 380beta ὃ καὶ παρατηρητέον· Ὅμηρος γάρ φησι Lh

book 380 ἀντὶ τοῦ "ὁμαλίσας". RVΓLh

book 381a εἰ μὴ τετορήσω R: ἐπίτηδες τραγικαῖς λέξεσιν ἐχρήσατο, τῷ "τετορήσω" καὶ "λακήσομαι". RVΓLh

book 381b ἀντὶ τοῦ "σαφηνιῶ", ὅ ἐστι δηλώσω. R τορῶς γὰρ σαφῶς καὶ ἀκριβῶς. RVΓ

book 381c εἰ μὴ κατείπω ταῦτα τὰ πραττόμενα οὕτως ὑμῖν καὶ διαβάλω. VΓ

book 382a λακήσῃς] λαλήσεις. ΓLh

book 382b ὦ῾ρμίδιον] ἀντὶ τοῦ "ὦ Ἑρμῆ" ὑποκοριστικῶς. ΓLh

book 382c —· Ald

book 383a ἐκπεπληγμένοι Γ: διπλῆ καὶ ἐν ἐκθέσει στίχοι τροχαϊκοὶ τρίμετροι ἀκατάληκτοι β'. ὑφ' οὓς διπλαῖ β'· ἕπεται γὰρ ἡ ἀντιστρέφουσα τῇ ἑκκαιδεκακώλῳ, ἧς πρῶτος μηδαμῶς ὦ δέσποθ' Ἑρμῆ, τέλος δὲ δέσποτ' ἀγαλοῦμεν ἡμεῖς 〈ἀεί〉. VΓ

book 383b εἰπέ μοι τί πάσχετ': τὰ τοιαῦτα εἴδη καλεῖται ἑτερόστροφα καί εἰσι στίχων καὶ κώλων ιζ'. ὧν οἱ πρῶτοι δύο LhAld

book 383b alpha τροχαϊκοὶ τετράμετροι καταληκτικοί. ὁ α' ὁ τῆς στροφῆς ὅμοιος τετράμετρος. Lh

book 383b beta 〈καὶ ὁ τῆς στροφῆς α' τροχαϊκοὶ τετράμετροι καταλητικοί.〉 Ald

book 383b τὸ β' παιωνικὸν δίμετρον καταληκτικόν. ὁ γ' παιωνικὸς τετράμετρος ἀκατάληκτος. LhAld

book 383b alpha ὁ δ' ὅμοιος τῷ α'. ὁ ἑξῆς τοῦ ὑποκριτοῦ ὅμοιος. ὁ πρῶτος τῆς β' στροφῆς ὅμοιος. τὸ β' καὶ γ' καὶ δ' καὶ ε' παιωνικὰ δίμετρα ἀκατάληκτα δίρρυθμα. ὁ ς' ὅμοιος τῷ α'. τὸ ζ', τὸ η', τὸ θ' καὶ τὸ ι' παιωνικὰ πάλιν δίμετρα. Lh

book 383b beta

Eulogikon public reading copy · View original HTML at eulogikon.org

〈ὁ δʹ καὶ ὁ ἑξῆς καὶ οἱ αʹ, ςʹ τῆς δευτέρας στροφῆς ὅμοιοι τῷ πρώτῳ. τὰ δ’ ἄλλα παιωνικὰ δίρρυθμα.〉 Ald

book 383b ἐπὶ ταῖς ἀποθέσεσι παράγραφος. ἐπὶ δὲ τῷ τελευταίῳ κώλῳ, τῷ δέσποτ’ ἀγαλοῦμεν ἀεί δύο διπλαῖ ἔξω νενευκυῖαι, ἡ μὲν ἐν ἀρχῇ τοῦ κώλου, ἡ δὲ κατὰ τὸ τέλος. LhAld

book 383c σύστημα. Lh

book 384a ὦ πόνηροι: ὦ ἐπίμοχθοι. RVΓ

book 384b ἐπιτιμᾷ αὐτοῖς ὡς νῦν σιωπῶσι δέον αὐτοὺς ἐν καιρῷ λαλεῖν. RVΓ

book 385 στροφὴ κώλων δʹ. Lh

book 386 εἴ τι κεχαρισμένον: παρὰ τὸ ὁμηρικὸν εἴ ποτέ τοι χαρίεντ’ ἐπὶ νηὸν ἔρεψα. Γ

book 387a τοῦτο μὴ φαῦλον Γ: μὴ εὐτελὲς νομίζων τοῦ χοιριδίου τυχεῖν. ΓLh

book 387b ἐν τῷ λαβεῖν RΓbisLh ἡμᾶς Γpr.Lh τὴν εἰρήνην. RΓbisLh

book 389 σύστημα. Lh

book 390a στροφὴ ἑτέρα κώλων ιʹ. Lh

book 390b μὴ γένῃ ΓLh παλίγκοτος RΓLh τις Lh: ἀντὶ τοῦ “ἐναντίος”. RΓLh

book 390c μὴ ἐξ ὑποστροφῆς ὀργισθῇς πάλιν καὶ μετανοήσῃς. RΓLh

book 395a εἴ τι Πεισάνδρου: ἴσως Γ εἰρωνεύεται· ἐπὶ δειλίᾳ γὰρ ἐσκώπτετο παρὰ πολλοῖς. RΓLh

book 395b Πεισάνδρου V: οὗτος φιλοπόλεμος ἦν καὶ πολεμοποιὸς κερδῶν ἰδίων ἕνεκεν. ἦν δὲ δειλὸς καὶ μέγας, καὶ ἐκαλεῖτο ὀνοκίνδιος. ἐχρῆτο δὲ τριλοφίᾳ καὶ ὅπλοις ἐπισήμοις ὑπὲρ τοῦ δοκεῖν ἀνδρεῖος εἶναι μὴ ὤν. καὶ ἐν ἄλλοις δὲ ἐπαχθῶς αὐτοῦ λαμβάνεται. RV

book 396-399 ἐφ’ οἷς ἡμᾶς εὐεργετῆσαι RΓLh προθυμῇ τε καὶ διανοῇ. ΓLh

book 399a ἀγαλοῦμεν RVΓLh: ἀντὶ τοῦ R “κοσμήσομεν”. RVΓLh

book 399b ἀγαλοῦμεν ἡμεῖς ἀεί: ὅτι περισσὸν τὸ “ἀεί”· ἤρκει γὰρ εἰπεῖν τὸ “διὰ παντὸς”. VΓ

book 399c ἴσως ταυτολογίᾳ ἐχρήσατο τὴν ἀείμνηστον εὐεργεσίαν δεῖξαι θέλων. VΓ

book 399d 〈 〉 Lh

book 400a ἴθ’ ἀντιβολῶ σε LhAld: σύστημα ἕτερον κατὰ περικοπὴν ἀνομοιομερές(.) LhbisAld

book 400a alpha οἱ δὲ στίχοι εἰσὶν ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι κςʹ, ὧν τελευταῖος οἴμ’ ὡς ἐλεήμων εἴμ’ ἀεὶ [para]τῶν χρυσίδων. Lh ἐπὶ τῷ τέλει παράγραφος. LhAld

book 400a beta 〈ἐκ στίχων ἰαμβικῶν κςʹ.〉 Ald

book 400b ἐλέησον αὐτῶν ὄπα: ἀντὶ τοῦ “ἐποίκτειρον αὐτῶν τὰς εὐχὰς καὶ τὰς λιτάς, καὶ ἐπάκουσον ἡμῶν, ὦ φιλανθρωπότατε”. ΓLh

book 400c ※ Lh

book 402a αἰνίττεται εἰς τοὺς Ἀθηναίους ὡς πολλὰ κλέπτοντας. RVΓLh

book 402b κλέπται γὰρ ΓLh νῦν εἰσιν Γ: παρ’ ὑπόνοιαν. RVΓLh

book 402c ἔπαιξεν ὡς τοῦ Ἑρμοῦ χαίροντος ταῖς κλοπαῖς. οὕτω γοῦν σε τιμῆσαι προαιρούμεθα, φησίν, ὅτι ζηλωταὶ τῶν ἐπιτηδευμάτων ἐσόμεθα τῶν σῶν, καὶ μᾶλλον ἢ πρότερον ἐν ταῖς κλοπαῖς προσέξομεν. RVΓLh

book 402d ἐν τῷ προσθεῖναι “μᾶλλον ἢ πρὸ τοῦ” ἐπ’ ἀμφοτέροις διέβαλεν, ὅτι καὶ πρότερον ἔχαιρον καὶ νῦν ἐπιδώσουσι μᾶλλον. VΓLh

book 404 τοῖς θεοῖς ἅπασιν ἐπιβουλεύεται ΓLh: ἀντὶ τοῦ “ἐπὶ τοῖς θεοῖς βουλεύεται”. RΓLh

book 406

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἡ γὰρ Σελήνη RΓLh χὠ πανοῦργος RΓ: τοῦτο λέγει Lh διὰ τὰ ἐκλείψεις καὶ τὰς ἄλλας διοσημίας τὰς κατὰ τὸν πόλεμον τὸν πελοποννησιακὸν RVΓLh γενομένας. Lh

book 406-408alpha βαρβάροισι R: εὐφυῶς πάλιν εἰς ὁμόνοιαν αὐτοὺς προτρεπόμενος RVbisΓLh δείκνυσιν, ὅτι ὑπὲρ τῶν βαρβάρων ἐστὶ τὸ τοὺς Ἕλληνας διὰ τὰς στάσεις ἀλλήλους διαφθείρειν. RVbisΓ

book 406-408beta σοφῶς ὑποβολῇ προσώπων εἰς ὁμόνοιαν προσάγει τοὺς ἀκούοντας. VΓLh καὶ Lh λεληθότως δείκνυσι πάλιν, ὅτι ὑπὲρ τῶν βαρβάρων ἐστὶ τὸ τοὺς Ἕλληνας τῇ οἰκείᾳ διαφθείρεσθαι στάσει. VΓLh

book 409 ἵνα τί δὲ] διὰ ποίαν αἰτίαν. ΓLh

book 409-411a δοκοῦσι γὰρ οἱ βάρβαροι τούτους μάλιστα θεραπεύειν τῶν θεῶν. VΓLh

book 409-411b ἐπιεικῶς οἱ βάρβαροι τόν τε ἥλιον καὶ τὴν σελήνην θεῶν μᾶλλον πάντων σέβουσιν. διὰ τοῦτο VbisΓLh δὲ VbisΓ καὶ τὴν Δῆλον καὶ τὴν Ἔφεσον οὐ διελυμήναντο· ὁ μὲν γὰρ ἥλιος Ἀπόλλων νενόμιστο, ἡ δὲ Ἄρτεμις σελήνη. Vbis ΓLh

book 410-411 τούτοισι δὲ οἱ βάρβαροι Γ: ὅτι RValt. οἱ βάρβαροι τὸν ἥλιον καὶ τὴν σελήνην τιμῶσιν, ὡς Ἡρόδοτος ἱστορεῖ. RVbisΓ

book 413a ἵνα τὰς τελετὰς αὐτοὶ λάβοιεν ΓLh: ἡμῶν ἀπολομένων καὶ τῶν βαρβάρων αὐτοῖς θυόντων. RVΓLh

book 413b παρατηρητέον, ὅτι VΓ ἐνταῦθα Lh ἀντὶ τοῦ “τὰς θυσίας” VΓLh κεῖται τὸ “τελετάς”. VΓ

book 414a ταῦτ’ ἄρα VΓLh πάλαι VΓ: συντίθεται ὁ Ἑρμῆς, καί φησιν, ὅτι VΓLh διὰ ταῦτα RΓLh ὁ μὲν ἥλιος παρέκλεπτε τῶν ἡμερῶν, ἡ δὲ σελήνη τοῦ κύκλου. VΓLh

book 414b τοῦ κύκλου R: ὅτι ἐπειδὰν ἴσαι αἱ ἡμέραι καὶ οἱ μῆνες γένωνται, ἔκλειψις γίνεται. τὸ φύσει οὖν γινόμενον κλέπτετον εἶπε παίζων. RVΓLh

book 415a ὑφ’ ἁρματωλίας: οὕτως ἡ γραφή. μέμνηται VΓ Ἡρωδιανὸς VΓLh ἐν τῇ ια′ VΓ καὶ Φρύνιχος VΓLh ἐν τῇ σοφιστικῇ παρασκευῇ· VΓ οὕτω τιθέασι τὴν λέξιν. VΓLh

book 415b δέον εἰπεῖν “ὑπὸ ἁμαρτίας” ἀντὶ τοῦ “ἁμαρτάνοντες” εἶπεν “ὑφ’ ἁρματωλίας” ἀντὶ τοῦ “φειδόμενοι τῶν ἁρμάτων αὐτῶν”. VΓLh

book 415c ἁρματωλίας R: τῆς τῶν ἁρμάτων ἡνιοχείας. RΓLh

book 417 τήνδε] τὴν Εἰρήνην. ΓLh

book 418a καί σοι τὰ μεγάλ’ RΓLh ἡμεῖς R: οὐχ ὡς καὶ μικρῶν ὄντων τοῦτό φησιν, ἀλλ’ αὔξων τὴν χάριν. τῇ δὲ Ἀθηνᾷ ἤγοντο διὰ πέντε ἐτῶν RV ΓLh τὰ Παναθήναια, Lh ὅτε καὶ ἡ ναῦς ἐπὶ γῆς πλέει παρ’ αὐτοῖς. RVΓ

book 418b Παναθήναι’ R: σοὶ RVΓLh οὖν, Lh φησίν, ἄξομεν τὰ Παναθήναια, VΓLh καὶ οὐ τῇ Ἀθηνᾷ, ἐὰν τῆς εἰρήνης τύχωμεν διὰ σοῦ. RVΓLh

book 419 πάσας τε Γ τὰς 〈ἄλλασ〉 τελετὰς VΓ: καὶ τοῦτο πρὸς τὰς ἄλλας τελετάς. Γ σαφέστερον δὲ ἐν τούτοις μᾶλλον VΓLh ποιεῖ, Lh ὅτι οὐ περιγεγραμμένως ἐπὶ τῶν θυσιῶν VΓLh τὰς τελετὰς Lh εἴρηκεν. VΓLh

book 420a μυστήρι’ RLh Ἑρμῇ R: τὰ τῇ Δήμητρι καὶ Κόρῃ ἀγόμενα RVΓLh

book 420a alpha οὐκέτι ταύταις, φησίν, ἄξομεν, RVΓ

book 420a beta λέγει. οὐκέτι οὖν, φησίν, ἄξομεν ταύταις τὰ μυστήρια, Lh

book 420a ἀλλὰ σοί, ὥσπερ καὶ τὰ Παναθήναια. RVΓLh

book 420b Διιπόλει’: ἑορτὴ Ἀθήνησιν, ἐν ᾗ Πολιεῖ Διὶ θύουσι Σκιροφοριῶνος τετάρτῃ ἐπὶ δέκα, VΓLh ὅς ἐστιν Αὔγουστος. Lh ἔστι δὲ ἀπομίμημα τῶν περὶ τῶν πελάνων καὶ τὰς βοῦς συμβάντων. VΓLh

book 420c Διιπόλει᾽ Ἀδώνια: τὰ Διιπόλεια τῷ Διί, Γ τὰ Ἀδώνια τῷ Ἀδώνιδι καὶ τῇ Ἀφροδίτῃ ΓLh ἤγετο. Lh

book 421 ἄλλαι τέ σοι πόλεις Γ: τοῦτό φησιν, ἵνα μὴ δόξῃ καταισχύνειν τὸ ἀξίωμα τῶν Ἀθηναίων ὡς διὰ τὸ ἀποκαμεῖν μόνων ἐρώντων τῆς εἰρήνης. οὐ μόνοι γὰρ αὐτοί, φησί, τὸν Ἑρμῆν τιμήσουσιν, ἀλλὰ καὶ πᾶσαι αἱ πόλεις τῆς εἰρήνης τυγχάνουσαι διὰ τὸ χρησιμεύειν τῷ βίῳ τῶν ἀνθρώπων. VΓ

book 422a ἀλεξικάκῳ: καὶ τὸ ἐπὶ τῷ Ἡρακλεῖ μόνῳ σοὶ ἐπιθήσομεν. ἀλεξίκακος γὰρ Ἡρακλῆς παρὰ τοῖς ἀνθρώποις ἐτιμᾶτο. RVΓ

book 422b καὶ Ἀπόλλωνα καὶ Ἡρακλέα ἀλεξίκακον τιμῶσιν. φησὶν οὖν· οὔτε Ἀπόλλωνι οὔτε Ἡρακλεῖ θύσομεν ὡς ἀλεξικάκοις, ἀλλὰ σοί. RVΓ

book 422c θύσουσιν] ἀφέντες Ἡρακλέα ἀλεξίκακον καὶ Ἀπόλλωνα, οὓς πρώην ἐτίμων, σοὶ θύσουσιν. Lh

book 424 δῶρον δίδωμι VΓ: τοῦτο Γ παρεπιγραφή. τοῦτο γὰρ εἰπὼν δίδωσιν αὐτῷ φιάλην χρυσῆν. VΓLh

book 425a alpha οἴμ᾽ ὡς ἐλεήμων: δέον εἰπεῖν “ἥττων” φησὶν RVΓ “ἐλεήμων”. VΓ

book 425a beta ὡς ... ἀεὶ] ἀντὶ τοῦ εἰπεῖν “ἥττων” “ἐλεήμων” φησίν. Lh

book 425b alpha χρυσίδα τὴν φιάλην. RVΓ

book 425b beta τῶν χρυσίδων] τῆς φιάλης. Lh

book 425c παρ᾽ ὑπόνοιαν. ἀντὶ τοῦ εἰπεῖν· τῆς πόλεώς εἰμι ἀεὶ ἐλεήμων ἢ τῆς Ἑλλάδος ἢ τῶν ἀνθρώπων, εἶπε· τῶν χρυσίδων, διὰ τὴν χρυσῆν φιάλην. RVΓ

book 425d ⸓ Ald

book 426a ὑμέτερον ἐντεῦθεν: διπλῆ καὶ ἐν ἐκθέσει στίχοι τροχαϊκοὶ τετράμετροι καταληκτικοὶ 〈ε′〉. εἶτα ἐν εἰσθέσει παρὰ τοὺς τετραμέτρους στίχοι ἰαμβικοὶ β′· κἀν ἐπεισθέσει κῶλα β′, ὧν τὸ μὲν ἐκ διπλοῦ σπονδείου, τὸ δὲ ἐκ τοῦ δευτέρου τροχαίου καὶ αὐτοῦ διπλοῦ. VΓ

book 426b ὑμέτερον ἐντεῦθεν: κορωνὶς εἰσιόντων ἑτέρως τῶν ὑποκριτῶν στίχων λβ′, ὧν οἱ πρῶτοι ε′ τροχαϊκοὶ τετράμετροι καταληκτικοί· οἱ ἑξῆς β′ ἰαμβικοὶ τρίμετροι· τὰ ἑξῆς δύο κῶλα τὸ μὲν σπονδιακὸν δίμετρον ἐπίτηδες ἐκ σπονδείων συγκείμενον, τὸ δὲ τροχ〈α〉ϊκὸν δίμετρον ἀκατάληκτον· Lh

book 426b alpha οἱ δὲ ἑξῆς πάντες ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι, ὧν τελευταῖος Lh

book 426b beta 〈τὰ δὲ ἑξῆς ἰαμβεῖα μέχρι τοῦ〉 Ald

book 426b ὑπότεινε δὴ πᾶς καὶ κάταγε τοῖσιν κάλως. ἐπὶ τῷ τέλει κορωνίς. LhAld

book 426c ὁ Ἑρμῆς ταῦτα παρακελεύεται. ταχέως δὲ πεποίηκεν αὐτὸν μεταβαλλόμενον τὴν προαίρεσιν, ἵνα μᾶλλον αὐτὸν δείξῃ ἥττονα τοῦ λήμματος. VΓ

book 426d ταῖς ἄμαις: ἄμη γεωργικὸν ὄργανον. R

book 426e ※ Lh

book 429 φράζε R δημιουργικῶς: ἀντὶ τοῦ RVΓ “τεκτονικῶς”· τοὺς γὰρ τέκτονας δημιουργοὺς ἔλεγον. RVΓLh

book 431 ἄγε δὴ σὺ ταχέως RΓ: ἄγε, φησί, πρότερον σπεῖσον τοῖς θεοῖς, ἵνα οὕτω τοῦ ἔργου ἐξόμεθα. RVΓLh

book 432a ἔργῳ φιαλοῦμεν: οἷον ἐπιθῶμεν τὴν φιάλην ἐπὶ τῶν ἔργων. VΓLh

book 432b φιαλοῦμεν R: ἔργῳ ἐπιβαλοῦμεν, ἐπὶ τοῦτο ὁρμήσομεν. RVΓLh

book 432b alpha προείρηται ἐν τοῖς Σφηξίν. R

book 432b beta εἴρηται δὲ καὶ ἐν τοῖς Σφηξίν. VΓLh

book 432c

παίζει παρὰ τὴν φιάλην τὴν δῶρον αὐτῷ δοθεῖσαν. ἢ ὅτι φιάλλειν κυρίως ἐστὶ τὸ ἄρχεσθαί VΓLh τινος Lh πράγματος. VΓLh

book 432d τοῦ ἔργου ἐπιλαβώμεθα καὶ προθυμηθῶμεν. VΓLh ἢ ἐπὶ τοῦτο ὁρμήσωμεν VΓ καὶ σπείσωμεν καὶ εὐφρανθῶμεν. VΓLh

book 433 σπονδὴ σπονδή VΓ: τοῦτο ἀξίουσι τὸν Ἑρμῆν λέγειν σπένδοντα. RVΓLh

book 435a διπλῆ καὶ ἐν ἐκθέσει στίχοι ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι κδ′, ὧν τελευταῖος ὑπότεινε δὴ πᾶς. VΓ

book 435b σπένδοντες εὐχώμεσθα: δοκεῖ διὰ τούτων αἰνίττεσθαι τὴν ὑπὸ Μελησίππου λεχθεῖσαν ἀπειλήν. ἐν ἀρχῇ γὰρ τοῦ πελοποννησιακοῦ πολέμου πεμφθεὶς πρεσβευτὴς ὁ Μελήσιππος ὑπὸ Λακεδαιμονίων εἰς τὰς Ἀθήνας, ὡς οὐχ ὑπήκουσαν οἱ Ἀθηναῖοι, ἠξίου ἀπαλλάττεσθαι λοιπόν, καὶ γενόμενος ἐπὶ τοῖς ὁρίοις VΓLh λόγος Lh εἰπεῖν· ὡς ἥδε ἡ ἡμέρα πολλῶν καὶ μεγάλων κακῶν τοῖς Ἕλλησιν ἄρξει. ἐπεὶ οὖν τῶν τοῦ πολέμου κακῶν ἀπαλλαχθήσεσθαι λοιπὸν ἔμελλον, εἰς τοὐναντίον πάλιν ὁ ποιητὴς μετέστρεψε τὸν λόγον τὸν ὑπ’ ἐκείνου ῥηθέντα. VΓLh

book 436 ἄργαι] ἀρχηγὸν γενέσθαι. ΓLh

book 437 ξυλλάβοι VΓ τῶν σχοινίων RVΓ: ἀντιλάβοιτο. VΓLh σχοινίοις γὰρ αὐτὴν καταχωσθεῖσαν ἀνεῖλκον. RVΓLh

book 438a μὴ λαβεῖν ποτ’ ἀσπίδα VΓ: μηκέτι πανοπλίαν βαστάσαι. VΓLh

book 438b μὴ λαβεῖν ποτ’ ἀσπίδα RLh: ἀντὶ τοῦ “ἀπεῖναι τῶν κακῶν τοῦ πολέμου”. RVΓLh

book 438c —Lh

book 439 χρησίμως νῦν ἀντιπαρατίθησι τοῖς τοῦ πολέμου δυσχερέσι τὰ τῆς εἰρήνης ἡδέα προτρεπόμενος καὶ εἰς ἔρωτα αὐτοὺς φέρων αὐτῆς. VΓLh

book 440a καὶ Γ σκαλεύοντ’ ἄνθρακας VΓLh: ἀντὶ τοῦ “ζωπυροῦντα τοὺς ἄνθρακας”. RVΓLh

book 440b οἷον ἐν ἀγρῷ διατρίβοντα. ἐπεὶ οὗτοι ὀπτῶσι βαλάνους καὶ σκαλεύουσι τοὺς ἄνθρακας ἐν τῷ ὀπτᾶν. VΓLh

book 440c τὸ γυναικεῖον αἰδοῖον RVΓLh ἄνθρακας VΓLh λέγει RVΓLh κατ’ εὐφημισμόν. Lh

book 441 ὅστις δὲ VΓLh πόλεμον VΓ: δύο πρόσωπα ταῦτά φησιν, ὧν ὁ μὲν εὔχεται, ὁ δὲ ἕτερος ἀκόλουθα τῇ εὐχῇ RVΓLh καταρώμενος VΓLh λέγει. RVΓLh

book 443a ὀλέκρανα VΓLh λέγονται Γ τὰ τῶν ὀλένων κρανία, τουτέστι τῶν χειρῶν. VΓLh

book 443b δῆλον, ὅτι τὸ ὀξὺ καὶ ἐπικαμπὲς τῶν χειρῶν λέγει, ὃν ἀγκῶνα φαμέν. VΓ

book 443c ἐκ τῶν ὀλεκράνων RVΓLh: ὀλέκρανόν VΓLh τινες τὸν ἀγκῶνα, οὐκέτι δὲ τὸ ἐν τῇ καμπῇ τῆς χειρὸς ὀξύ. ἐπώδυνος δὲ ὁ τόπος οὗτος τοῖς τρωθεῖσιν εἰς αὐτόν. RVΓLh

book 443d “ἀκίδας” τὰ βέλη λέγει. ἐπιστῆσαι δὲ ἄξιον, τί ποτε αὐτῷ ταῦτα βούλεται· οὐ γὰρ τοξόται οἱ Λακεδαιμόνιοι, ἀλλὰ τῇ συστάδην μάχῃ μᾶλλον χαίροντες. VΓLh

book 444 κεἴ τις VΓ ἐπιθυμῶν VΓLh ταξιαρχεῖν ΓLh: οἱ πρότεροι στίχοι πρὸς τὴν ἄνω κατάραν λέγονται· εἶθ’ ἕτερος συνάπτει VΓLh πάσχοι γε τοιαῦθ’, VΓ ὥστε καὶ παραγραφὴν εἶναι. ὥστε ἐκείνου προειπόντος κατάραν ὁ ἕτερος τὸν λόγον ἐκδεξάμενος ἐπιφέρει. ὅπερ καὶ ἐν ταῖς ἑξῆς κατάραις σαφέστερον

book 444alpha φησίν. VΓ

book 444beta ποιεῖ. Lh

book 446 οἵαπερ RΓ Κλεώνυμος RVΓ: τουτέστιν RΓLh ἀσχημονοίη ῥίπτων τὴν ἀσπίδα. ῥίψασπις γὰρ ὁ Κλεώνυμος, RVΓLh ὡς καὶ ἐν τοῖς Σφηξὶ λέγει φανερώτατα. RVΓ

book 447 εἴ τις δορυξὸς ἢ R κάπηλος RΓ ἀσπίδων Γ: οὐκ αὐτὸς ἀσπίδας ποιῶν, ἀλλὰ παρ’ ἄλλου λαμβάνων καὶ πωλῶν. RVΓLh καπήλους γάρ φασι RVΓ πάντας R τοὺς μεταβόλους. RVΓ

book 448a ἵν’ ἐμπολᾷ ΓLh βέλτιον Γ: ἵνα πιπράσκῃ πλείονος. ἢ ἵνα πορίζῃ πλεῖον. ΓLh

book 448b συνήθως νῦν τὸ “ἐμπολᾷ” ἀντὶ τοῦ “πωλεῖ”. πολλάκις δὲ VΓLh καὶ Lh ἐπὶ τοῦ ἀγοράζειν, ὡς ἑξῆς ἐμπολήσαντές τι χρηστὸν εἰς ἀγρὸν ταρίχιον. VΓLh

book 448c κριθὰς μόνας: ἀντὶ τοῦ “μὴ ἄλφιτα, ἀλλὰ μόνας κριθάς”. VΓ

book 450 κεἴ τις στρατηγεῖν RΓLh βουλόμενος R: δοκεῖ ταῦτα εἰς Ἀλκιβιάδην αἰνίττεσθαι, ὥς που φησὶ RVΓLh καὶ RV Θουκυδίδης ἐν τῇ Νικίου δημηγορίᾳ RVΓLh καὶ ἐν τῇ VΓLh αὐτοῦ V Ἀλκιβιάδου, τὸν μὲν Νικίαν παραινοῦντα τοῖς Ἀθηναίοις ποιῶν μὴ πειθομένους αὐτῷ πόλεμον ἄρασθαι τοσοῦτον, ΓLh οὕτω λέγων· “εἴτε τις ἄρχειν ἄσμενος αἱρεθεὶς παραινεῖ ἐκπλεῖν ὑμῖν ταὐτοῦ μόλις σκοπῶν, ἄλλως τε καὶ νεώτερος VΓ ἔτι Γ ὢν εἰς τὸ ἄρχειν, ὅπως θαυμασθῇ μὲν ἀπὸ τῆς ἱπποτροφίας, διὰ VΓ δὲ V πολυτέλειαν καὶ ὠφεληθῇ τι, ἐκ τῆς ἀρχῆς δὲ τούτῳ παράσχητε τῷ τῆς πόλεως κινδύνῳ ἰδίᾳ ἀπολαμπρύνασθαι”, VΓ αὐτὸν δὲ τὸν Ἀλκιβιάδην ὅτι βούλεται στρατηγεῖν μὴ ἀρνούμενον VΓLh διὰ τούτων· “καὶ προσήκει μοι μᾶλλον, ὦ Ἀθηναῖοι, ἑτέρων ἄρχειν—ἀνάγκη γὰρ ἐντεῦθεν ἄρξασθαι, ἐπειδή μου Νικίας καθήψατο—καὶ ἄξιος ἅμα νομίζων VΓ εἶναι”. V

book 451 ἢ δοῦλος αὐτομολεῖν Γ: πάλιν πρὸς Ἀλκιβιάδην, ἐπεὶ πρὸς Λακεδαιμονίους φυγὼν αἴτιος ἐγένετο τοῦ Δεκέλειαν αὐτοὺς ἐπιτειχίσαι· διὸ καὶ δοῦλον αὐτὸν καλεῖ, RVΓ διὰ τὴν Κοισύραν, ἥτις δούλη ἦν, ὥς φησιν ἐν Νεφέλαις. VΓ

book 452 ἐπὶ τοῦ τροχοῦ RΓ γ’ ἕλκοιτο Γ: οἱ γὰρ δοῦλοι σφαλλόμενοι ἐπὶ τροχοῦ δεσμούμενοι καὶ συρόμενοι ἐτύπτοντο ἀνακλώμενοι ἐν αὐτῷ. RVΓLh

book 453a 〈ἰὴ παιών: ἐφύμνιον εἰς Ἀπόλλωνα. τὴν δὲ αἰτίαν Καλλίμαχος ᾖσε διὰ τούτων· Πυθῶ τοι κατιόντι συνήντετο δαιμόνιος θήρ, αἰνὸς ὄφις. τὸν μὲν σὺ κατήναρες, ἄλλον ἐπ’ ἄλλῳ βάλλων ὠκὺν ὀϊστόν, ἐπηΰτησε δὲ λαός· ἰὴ ἰὴ Παιῆον, ἵει βέλος.〉 Ald

book 453b —Lh

book 454 ἐπεὶ ἐν τῷ “παιών” ἔγκειται τὸ παίειν. R

book 456a Ἑρμῇ Χάρισιν ΓLh Ὥραις Γ: δικαίως προέταξε τὸν Ἑρμῆν ὡς αἴτιον τῆς ἀναγωγῆς τῆς Εἰρήνης. καὶ τῶν ἑξῆς δὲ εἰκότως ἐμνήσθη ὡς ἁρμοδίων αὐτῇ· ἐν γὰρ τῇ εἰρήνῃ τούτων ἀπολαύουσι πάντες. RΓLh

book 456b Ὥραις ΓLh: ταῖς τοῦ ἔτους. VΓLh

book 456c ὧν οὐδεὶς ἐν πολέμῳ ἀπολαύει καὶ τῶν αὐτῶν ἔργων. VΓLh

book 457a Ἄρει δὲ RΓLh μή R: πρὸς τοὺς οἰομένους τῶν νεωτέρων τὸν αὐτὸν εἶναι Ἄρεα καὶ Ἐνυάλιον. RVΓLh

book 457b κατ’ ἐπίθετον. τινὲς δὲ Ἄρεως καὶ Ἐνυοῦς RVΓLh λέγουσι Lh τὸν Ἐνυάλιον, οἱ δὲ Κρόνου καὶ Ῥέας. RVΓLh

book 457c Ἀλκμᾶνα λέγουσιν ὁτὲ μὲν τὸν αὐτὸν λέγειν, ὁτὲ δὲ διαιρεῖν. ΓLh

book 457d εἰκότως τούτοις ΓLh φησὶ Lh μὴ δεῖν θύειν μετὰ τὴν εἰρήνην· ὑπεναντίοι γὰρ καὶ ἀλλότριοι τῆς εἰρήνης. ΓLh

book 458 Lh

book 459a ὦ εἶα Γ: διπλῆ καὶ εἴσθεσις 〈εἰς περικοπὴν〉 ἀμοιβαίαν τοῦ χοροῦ καὶ τοῦ ὑποκριτοῦ ἐν ἐπεισθέσει καὶ παρεκθέσει. ἧς τὰ πρῶτα ε′ VΓ κατὰ κῶλον· ἔχει γὰρ ἀλλαγὴν τῶν προσώπων. V καὶ ἔστι τὸ μὲν πρῶτον καὶ τρίτον τρισύλλαβα κατὰ παλιμβάκχειον, τὸ δὲ β′ παίων πρῶτος. τὸ

δὲ δʹ ἤτοι δακτυλικὸν διπλοῦν ἢ τροχαϊκὸν πενθημιμερὲς εἴη ἄν. τὸ εʹ διπλοῦς παλιμβάκχειος. VΓ

book 459b ὦ εἶα Lh: ἡ ἀμοιβαία αὕτη στροφὴ κώλων ἐστὶ ιδʹ, ἔχει δὲ ἑξῆς καὶ ἀντιστροφὴν ἐξ ὁμοίων ἀρχομένην κώλων. LhAld

book 459b alpha ἔστι τοίνυν τὸ αʹ παιωνικὸν μονόμετρον ἐκ παλιμβακχείου· τὸ βʹ ὅμοιον ἐκ παίωνος αʹ· τὸ γʹ ὅμοιον τῷ αʹ· τὸ δʹ ὅμοιον ἡμιόλιον ἐκ παίωνος· τὸ εʹ δίμετρον ἐκ παλιμβακχείων· τὸ ϛʹ καὶ ζʹ ἀναπαιστικὰ δίμετρα ἀκατάληκτα· τὸ ηʹ ὅμοιον δίμετρον καταληκτικόν· τὸ θʹ καὶ ιʹ παιωνικὰ μονόμετρα ἐκ κρητικῶν· τὸ ιαʹ καὶ ιβʹ καὶ ιγʹ ἀναπαιστικὰ δίμετρα ἀκατάληκτα ἐπιμεμιγμένα ἰάμβοις, τὰ δὲ τῆς ἀντιστροφῆς καὶ δακτύλοις· τὸ ιδʹ πῶς οὖν οὐ χωρεῖ τοὔργον; ὅμοιον καταληκτικὸν ἤτοι ἑφθημιμερὲς παροιμιακόν. ἐπὶ τῷ τέλει παράγραφος καὶ διπλῆ ἔσω νενευκυῖα διὰ τὴν ἀνταπόδοσιν. Lh

book 459b beta 〈καὶ ἔστι τὸ μὲν πρῶτον τρισύλλαβον κατὰ παλιμβάκχειον· τὸ δὲ βʹ παίων πρῶτος· τὸ δὲ γʹ ὅμοιον τῷ πρώτῳ· τὸ δὲ δʹ ἤτοι δακτυλικὸν διπλοῦν ἢ τροχαϊκὸν πενθημιμερὲς εἴη ἄν, ἢ ἡμιόλιον ἐκ παίωνος· τὸ μέντοι τῆς ἀντιστροφῆς κρητικὸν ἔχει· τὸ εʹ διπλοῦς παλιμβάκχειος· τὰ ϛʹ ζʹ ἀναπαιστικὰ δίμετρα· τὸ ηʹ ἑφθημιμερὲς ὅμοιον· τὰ θʹ ιʹ παιωνικὰ μονόμετρα ἐκ κρητικῶν· τὰ ιαʹ ιβʹ ιγʹ ἀναπαιστικὰ δίμετρα ἐπιμεμιγμένα ἰάμβοις, τὰ δὲ

book 459b beta τῆς ἀντιστροφῆς καὶ δακτύλοις· τὸ ιδʹ ὅμοιον ἑφθημιμερές. ὑφ' ὃ ἡ ἔσω διπλῆ διὰ τὴν ἀνταπόδοσιν.〉 Ald

book 459c ὦ εἶα R: τὸν Ἑρμῆν καὶ ταῦτα ἐξάρχειν θέλουσιν. μιμεῖται δὲ τοὺς βάρος τι ἐξέλκοντας. δεῖ οὖν νοεῖν, ὅτι ταῦτα ἀνὰ μέρος λέγεται, τὸ μὲν τοῦ Ἑρμοῦ κελεύοντος καὶ ἕλκοντος, τὸ δὲ τῶν ἑλκόντων ὑπακουόντων. RVΓ

book 459d ὁ Ἑρμῆς ἐπιτάττει τοῖς ἕλκουσι, καὶ ἅμα τοῖς μὴ ἕλκουσιν ἐπιτιμᾷ· οἱ δὲ χαίροντες τῇ εἰρήνῃ ἀποκρίνονται. VΓ

book 460 ※ Lh

book 462 ἔτι μάλα RΓ: ἔτι σφοδρότερον RVΓLh ἢ R προθυμότερον. RVΓLh

book 464a τὰ ἑξῆς τρία ἐν παρεκθέσει, ἀναπαιστικὸν δίμετρον ἀκατάληκτον ἓν καὶ καταληκτικὰ βʹ. VΓ

book 464b 464] οὐχ ὁμοθυμαδὸν ἕλκουσιν. VΓLh

book 465 οἶ' ὀγκύλλεσθ' RΓ: οἷα, φησίν, VΓ ἐπερείδεσθε RVΓLh μὲν τῷ σχοινίῳ προσποιούμενοι ἕλκειν, οὐχ ἕλκετε δέ. ἢ τὸν ὄγκον περιβάλλεσθε καὶ ἀλαζονεύεσθε RVΓ καὶ ὑπερηφανεύεσθε. RΓ ἢ ὡς φιλοπόλεμοι δὲ οὐχ εἷλκον RVΓ ἢ ὡς ἔκσπονδοι. VΓ

book 466 οἰμώξεσθ' RΓ οἱ R Βοιωτοί RV: ὅτι μηδὲν αὐτοῖς μέλει τῆς εἰρήνης. ἐπὶ γὰρ RVΓ τοῦ VΓ Ἀλκαίου σπονδάς RVΓ αὐτοῖς Γ φησι γεγονέναι Φιλόχορος πεντηκονταετεῖς Ἀθηναίοις καὶ Λακεδαιμονίοις καὶ τοῖς συμμάχοις πλὴν Βοιωτῶν καὶ Κορινθίων καὶ Ἠλείων. RVΓ

book 467 εἶτα ἐν ἐκθέσει τρισύλλαβοι 〈βʹ〉 κατὰ πόδα κρητικόν. V

book 469a ξυνανέλκετον καὶ σφώ] εἶτα ἐν ἐκθέσει ἀναπαιστικὸν πενθημιμερές. V

book 469b ἄγετον, ξυνέλκετον Γ: ὁ χορὸς RΓLh πρὸς τὸν Ἑρμῆν καὶ τὸν Τρυγαῖον. RVΓLh

book 470a τὰ ἑξῆς δύο ἀναπαιστικὰ ἐν εἰσθέσει δίμετρα ἀκατάληκτα. V

book 470b ἕλκω Γ κἀξαρτῶμαι RΓ: ἔμφασιν πολλὴν ἔχουσιν οἱ λόγοι αὐτοῦ ἐμφαίνοντες τὴν σπουδὴν τὴν περὶ τὸ ἕλκειν, ὅπου γε καὶ συναρτᾶσθαί φησι τῷ ἔργῳ, ἀντὶ τοῦ “συμπεπάρθαι”. RVΓ

book 472a ἐν ἐπεκθέσει δίμετρον καταληκτικόν. VΓ

book 472b πῶς οὖν οὐ χωρεῖ τ'οὖργον Γ: ὁ Ἑρμῆς τοῦτό φησιν ἀπελέγχων αὐτούς, ὅτι λέγουσιν ἕλκειν καὶ οὐχ ἕλκουσιν. RVΓ

book 472c οὐ χωρεῖ] οὐ προκόπτει. VΓLh

book 472d — < Lh

book 473a ὦ Λάμαχ’ ἀδικεῖς Γ: διπλῆ καὶ στίχοι τρίμετροι ἰαμβικοὶ ιγ′. VΓ

book 473b ὦ Λάμαχ’ Lh: σύστημα κατὰ περικοπὴν Lhbis ἀνομοιομερὲς στίχων ἰαμβικῶν τριμέτρων ἀκαταλήκτων ιγ′. ἐπὶ τῷ τέλει παράγραφος. Lh

book 473c περὶ Λαμάχου εἴρηται πολλάκις ὅτι φιλοπόλεμος ἦν. RV

book 474a τῆς σῆς μορμόνος Γ: παρὰ τὴν Μορμὼ καὶ τὴν Γοργόνα, ἣν εἶχεν ὁ Λάμαχος RVΓ ἐπίσημον. VΓ

book 474b οὕτως ἔλεγον τὸ ἐκφόβητρον· καὶ τὰ προσωπεῖα τὰ αἰσχρὰ μορμολύκεια, ⟦ἀφ’ οὗ⟧ καὶ τὰ τραγικὰ καὶ τὰ κωμικά. RVΓ καὶ ἐν Ἀμφιαράῳ ἀφ’ οὗ κωμῳδικὸν μορμολύκειον ἔγνων. VΓ

book 476a ἀλλ’ ἢ κατεγέλων ΓLh: ἐπεὶ Ἀργεῖοι κατεγέλων Λακεδαιμονίων καὶ Ἀθηναίων ἀλλήλοις μαχομένων, ἐπείπερ παρ’ ἀμφοτέρων λαμβάνοντες χρήματα ἐπολέμουν. VΓLh

book 476b ἀλλ’ ἢ κατεγέλων: ἀλλ’ R ἐνετρύφων τοῖς ἐκ τοῦ πολέμου διαφθειρομένοις. αἰνίττεται δὲ εἰς τοὺς Ἀργείους ἐν τούτῳ τῷ πολέμῳ ἐπαμφοτερίζοντας· διὸ καὶ πολλὰ ἐκωμῳδοῦντο. RVΓLh

book 477a ταῦτα R διχόθεν RVpr.Γpr.: ὡς τῶν Ἀργείων ἐπαμφοτεριζόντων RVbisΓbis καὶ ἀποκλινόντων, RVpr.Γ καὶ πρὸς Λακεδαιμονίους. RVpr.Γpr. διὸ RVbisΓalt. καὶ Valt.Γalt. Φιλόχορός φησι πολεμοποιοῦντας πάλιν τοὺς Κορινθίους προσλαμβάνεσθαι καὶ τοὺς Ἀργείους. RVbisΓalt.

book 477b περὶ Ἀργείων καὶ Φερεκράτης ἐν Αὐτομόλοις VΓ καὶ Γ οὗτοι γὰρ ἡμῖν οἱ κακῶς ἀπολούμενοι ἐπαμφοτερίζους’ ἐμποδὼν καθήμενοι. VΓ

book 477c ἀπεμφαίνει “καὶ ταῦτα διχόθεν μισθοφοροῦντες” RVΓLh ἥρμοττε γὰρ μᾶλλον οὕτως εἰπεῖν· ὅτι οὐ προθυμοῦνται πρὸς τὴν εἰρήνην, καὶ ταῦτα μάλιστα πάντων τρυχόμενοι ἐν τῷ πολέμῳ. μή τι οὖν ἐν ἴσῳ τούτων εἴρηκε “διὰ τὸ διχόθεν μισθοφορεῖν”. VΓLh

book 479a ἆρ’ οἶσθ’ ὅσοι γ’ αὐτῶν Γ: καὶ RVΓ ὁ R Θουκυδίδης ἱστορεῖ RVΓ λέγων RV μάλιστα τῆς εἰρήνης ἀντιποιεῖσθαι RVΓ τοὺς RV Λακεδαιμονίους διὰ τοὺς ληφθέντας αὐτῶν ἐν Σφακτηρίᾳ. λέγει γὰρ οὕτως· “τοὺς γὰρ δὴ ἄνδρας περὶ πλείονος ἐποιοῦντο κομίσασθαι, ἕως ὅτε RVΓ ὁ RV Βρασίδας εὐτύχει”. καὶ ἐν ἄλλοις· “ταῦτα RVΓ οὖν ἀμφοτέροις αὐτοῖς λογιζομένοις ἐδόκει ποιητέα εἶναι ἡ ξύμβασις, καὶ οὐχ ἧττον τοῖς Λακεδαιμονίοις ἐπιθυμίᾳ τῶν ἀνδρῶν VΓ τῶν Γ ἐκ τῆς νήσου κομίσασθαι. ἦσαν γὰρ οἱ Σπαρτιᾶται αὐτῶν πρῶτοί τε καὶ ὁμοίως σφίσι συγγενεῖς. ἤρξαντο μὲν οὖν καὶ εὐθὺς μετὰ τὴν ἅλωσιν αὐτῶν πράσσειν. ἀλλ’ οἱ Ἀθηναῖοι μὲν οὔπω θέλοντες ἐξυφερουμένοις ἐπὶ τῇ ἴσῃ καταλύεσθαι”. μάλιστα δὲ οἱ τῶν δεδεμένων συγγενεῖς ἐνῆγον καὶ ἐσπούδαζον, ὡς ἂν εἰρήνη γένηται. VΓ

book 479b οὐ μόνον διὰ τὸ κεκμηκέναι τῷ πολέμῳ, ἀλλὰ καὶ διὰ τοὺς ἐν Σφακτηρίᾳ RΓ τριακοσίους τοὺς R δεδεμένους. RΓ

book 479c τῷ ξύλῳ. R

book 479d τῆς ποδοκάκης, τοῦ νῦν καλουμένου κούσπου. R

book 480 ὅτι ἐδέδεντο καὶ περιέκειντο αὐτοῖς πέδαι. RΓ

book 481a τοῦτο οἱ κακῶς ἐξηγούμενοι τοῦ Τρυγαίου φασίν. Γ

book 481b οὐδ’ οἱ Μεγαρῆς RΓ: ὡς καὶ τούτων βαρέως φερόντων ὅτι ἔκσπονδοι ἐγένοντο, βουλομένων δὲ τὴν εἰρήνην διὰ τὸ μάλιστα πεπιέσθαι τῷ λιμῷ καὶ τῷ πολέμῳ. RVΓ

book 482a γλισχρότατα RΓ: ὅτι γλίσχρον ἐπὶ δυστυχίᾳ ἔλεγον. RVΓ

book 482b σαρκάζοντες: ἤτοι ἐξισχνούμενοι καὶ ἠτονηκότες καὶ διὰ τὸν λιμὸν ἕλκοντες μόλις. RVΓ

book 482c

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἕλκοντες V κατὰ τὸν τῶν κυνιδίων τρόπον, οἳ τὰ ὀστέα περιτρώγοντες καὶ οὐκ ἔχοντες ἐμφορηθῆναι ὑπ’ αὐτῶν τῷ δοκεῖν ἐσθίουσιν. φανερὸν δέ VΓ ἐστιν Γ ὅτι ἐπίτηδες χαριζόμενος πάλιν τοῖς Ἀθηναίοις διέσυρεν οὕτω τοὺς Μεγαρεῖς, πρῶτον μὲν αὐτοὺς κυσὶ παραβαλών, ἔπειτα τῷ ὑποκοριστικῷ καὶ τῇ σμικρότητι τῶν κυνιδίων εἰς πλείονα καταγαγὼν ταπεινότητα. πάνυ γὰρ καὶ διαπρυσίως ἐμισοῦντο ὑπὸ τῶν Ἀθηναίων. VΓ

book 482d δι’ ὃν εἰρήκαμεν τρόπον. καλῶς δ’ ἂν ἔχοι τοῦτο τηρῆσαι πρὸς τὸ ἱππωνάκτειον οὕτως ἔχον· σαρκοκύων λιμόν. οὐ γάρ ἐστι τῶν σαρκῶν, ὥσπερ ἀξιοῦσι τῶν ἐξηγησαμένων τινές· παντάπασι γὰρ ἂν εἴη αὐτὸ ὑπεναντίον ἑαυτῷ. ἔργον γὰρ τοῦ λιμοῦ οὐ σάρκας ἐμποιεῖν, ἀλλὰ τοὐναντίον ἀπισχνοῦν τὰ σώματα καὶ τῶν σαρκῶν παραιρεῖσθαι τὸν ὄγκον. VΓ

book 482e σαρκάζοντες RVΓ: οἷον ὑποσεσηρότες καὶ διανοίγοντες, ὥσπερ τὰ κυνίδια, ὅταν προσλιπαρῇ τινα καὶ ἀφέλκῃ τοῖς ὀδοῦσιν. RVΓLh

book 482f σαρκάζειν ἐστὶ κυρίως τὸ τὸν κύνα πεινῶντα τὰ λεπτὰ τῶν σαρκῶν τοῦ ὀστέου ἀπογλύφειν. V

book 483a ὑπὸ τοῦ γε λιμοῦ 〈...〉 ἐξολωλότες: ὅτι ὡς λιμώττοντες ἀεὶ Μεγαρεῖς παίζονται. διὰ γὰρ τοῦτο καὶ τοὺς παῖδας ἐπίπρασκον τοὺς ἑαυτῶν. καὶ ἐπεθύμουν μὲν τῆς εἰρήνης, διὰ δὲ τοὺς Ἀθηναίους ἀνεβάλλοντο αὐτήν, ὥς φησι Θουκυδίδης. RVΓ

book 483b ὑπὸ τοῦ γε λιμοῦ Γ: λιμώττειν αὐτοὺς λέγει, ἐπειδὴ ὅτε μὲν εἰρήνη ἦν, εἰσήρχοντο εἰς τὴν Ἀττικὴν VΓ καὶ ἀπετρέφοντο V διὰ τὸ πωλεῖν καὶ συναλλάσσειν· νῦν δὲ πολέμου ὄντος ἐφοβοῦντο εἰσελθεῖν εἰς τὴν Ἀττικὴν καὶ ἀγοράσαι ὧν ἔχρηζον· ἐξ αὐτῶν γὰρ ἐγένετο ἡ αἰτία τοῦ πολέμου. ἐξ Ἀττικῆς δὲ ὠνοῦντο τὰς τροφὰς διὰ τὸ καὶ πλησιάζειν αὐτῇ καὶ διὰ τὸ ὀλίγην παντάπασιν ἔχειν χώραν τὴν γεωργουμένην. εἰκὸς οὖν ἦν τοὺς Ἀθηναίους ἐπεξιόντας αὐτοῖς κωλύειν τὴν παρ’ αὐτοῖς γῆν γεωργεῖν. ἢ ὅτι εἰς πολιορκίαν κατέστησαν αὐτοὺς οἱ Ἀθηναῖοι τὴν Νισαίαν τειχίσαντες, ὅπερ πρὸς τῇ VΓ θαλάττῃ τῶν Μεγαρέων ἐπίνειον ἦν ἀπέχον οὐ πολὺ διάστημα ἀπὸ τῆς τῶν Μεγαρέων πόλεως. ἐπάναγκες οὖν αὐτοὺς λιμώττειν. V

book 485a ἀντιληπτέον] ἅπαντας δεῖ ὁμονοεῖν. VΓ

book 485b —̇ Lh

book 486a [para]486—489] δύο διπλαῖ· ἕπεται γὰρ ἡ ἀντίστροφος τῇ προτέρᾳ περικοπῇ ἀμοιβαία 〈ι〉 δʹ κώλων ἔχουσα καὶ τὴν εἰς τὰ πρόσωπα διαίρεσιν ὁμοίαν· οὗ ἡ ἀρχή ὦ εἴα, τέλος δέ ἀλλ’ εἴς’ οἳ κωλύουσιν. V

book 486b ὦ εἶα: ἡ ἀμοιβαία αὕτη ἀντιστροφὴ τῆς ῥηθείσης ἐστὶ στροφῆς, καί εἰσι τὰ κῶλα καὶ ταύτης ιδʹ ὅμοια ἐκείνοις· ἔν τισι δὲ καὶ ἑτέρους δέχεται πόδας τοῦ αὐτοῦ LhAld

book 486b alpha ὄντος μέτρου. ὧν τελευταῖος ἀλλ’ εἴς’ οἳ κωλύουσιν. ἐπὶ τῷ τέλει δύο διπλαῖ ἔξω νενευκυῖαι, ἡ μὲν ἐν ἀρχῇ τοῦ κώλου, ἡ δὲ κατὰ τὸ τέλος. Lh

book 486b beta 〈μέτρου ὄντος. ἐπὶ τῷ τέλει αἱ ἀμφοτέρωθεν ἔξω διπλαῖ.〉 Ald

book 486c ἀντιστροφὴ κώλων ιδʹ. Lh

book 487 ※ Lh

book 491-492 οὐ δεινὸν καὶ ἄτοπον τοὺς μὲν ἐξ ἡμῶν τῆς εἰρήνης ὀρέγεσθαι 〈σπου〉 δαιότατα, τοὺς δὲ ἀντιπράττειν; καλῶς δὲ τοῖς ὀνόμασιν ἐχρήσατο, τῷ τείνειν καὶ τῷ ἀντισπᾶν. V

book 492 ἀντὶ τοῦ “ἐναντιοῦσθαι”. R

book 493 ἐπειδὴ ἀπ’ ἀμφοτέρων τῶν μερῶν μισθὸν ἐλάμβανον RV καὶ κατεγέλων. V

book 496 ὡς κακόνοι R: οἷον ἐχθροὶ καὶ κακὸν νοῦν ἔχοντες πρὸς τὴν εἰρήνην. RVLh

book 497a οἱ κιττῶντες: ἀντὶ τοῦ R “οἱ ἐπιθυμοῦντες”. RLh μεταφορικῶς ἀπὸ τῶν κυουσῶν γυναικῶν. R

book 497b ἐπειδὴ ἀδηφάγον τὸ ὄρνεον ἡ κίττα καὶ περίεργον εἰς ἐπιθυμίαν. R

book 497c παμφάγον γὰρ τὸ ὄρνεον ἡ κίττα. ἐξ ἧς μετῆκται εἰς τὰς κυούσας τὸ κιττᾶν. V

book 497d alpha οἱ κιττῶντες: ἤγουν ἐπιθυμοῦντες. ἀπὸ μεταφορᾶς τῶν κυουσῶν γυναικῶν. ἢ ἐπειδὴ ἀδηφάγον ἡ ὄρνις ἡ κίττα, κιττᾶν λέγοιτο ἂν τὸ ἐπιθυμεῖν. εἴρηται δὲ ἐκ μεταφορᾶς τῶν γυναικῶν, ὅτι ἐκεῖναι ἐν ἐπιθυμίᾳ γίνονται ἐδεσμάτων τινῶν μετὰ τὸ συλλαβεῖν. Lh

book 497d beta 〈οἱ κιττῶντες: ἀπὸ μεταφορᾶς τῶν κυουσῶν γυναικῶν. ἤγουν ἐπιθυμοῦντες. καὶ ἐπειδὴ ἀδηφάγον καὶ παμφάγον ὄρνεον ἡ κίττα, περίεργον δὲ καὶ εἰς ἐπιθυμίαν. κιττᾶν οὖν τὸ ἐπιθυμεῖν. ἀπὸ τῶν γυναικῶν τῶν ἐν ἐπιθυμίᾳ γινομένων ἐδεσμάτων τινῶν μετὰ τὸ συλλαβεῖν.〉 Ald

book 499 〈 〉 Lh

book 500a ὦ ̓́νδρες Μεγαρεῖς: ἕτερον σύστημα κατὰ περικοπὴν ἀνομοιομερὲς

book 500a alpha στίχων ἰαμβικῶν τριμέτρων ἀκαταλήκτων Lh

book 500a beta 〈ἰαμβείων〉 Ald

book 500a η′. καὶ ἐν εἰσθέσει ἕτερον ἀμοιβαῖον στίχων ὁμοίων καταληκτικῶν τετραμέτρων δ′. ἐπὶ ταῖς ἀποθέσεσι παράγραφος. LhAld

book 500b σύστημα κατὰ περικοπὴν στίχων η′. Lh

book 500c οὐκ ἐς κόρακας ἐρρήσετε: ἀντὶ τοῦ R “μετὰ φθορᾶς βαδίσετε”. RVLh πολλάκις δὲ εἰρήκαμεν, ὅτι ἐπὶ κατάρας τίθεται RV τὸ “ἐς κόρακας”. R

book 502a alpha τοῖς σκορόδοις] ἤγουν τῇ δριμύτητι· ὅτι πολλὰ παρ’ αὐτοῖς τὰ σκόροδα. Lh

book 502a beta ἀντὶ τοῦ “δριμύτητι”. ὅτι πολλὰ σκόροδα παρὰ Μεγαρεῦσιν. V

book 502b αἰτίαν εἶχον RV οἱ Μεγαρεῖς R ἀρχηγοὶ γενέσθαι τοῦ πολέμου διὰ τὴν ἁρπαγὴν τῶν πορνῶν Ἀσπασίας καὶ τὴν ἐπὶ τούτοις ὀργὴν Περικλέους καὶ τὸ ψήφισμα, ὡς ἐν Ἀχαρνεῦσί φησιν. RV

book 504 ἐντεῦθεν R: ἐκ τούτου τοῦ μέρους· λέγει δὲ τοῦ μὴ RVLh θέλειν RV ποιεῖν τὴν εἰρήνην. RVLh

book 505a παρὰ προσδοκίαν εἶπεν οὐ πρὸς τὴν εἰρήνην, ἀλλὰ πρὸς τὸ φιλόδικον αὐτῶν· ἀντὶ τοῦ εἰπεῖν· οὐδὲν γὰρ ἄλλο δρᾶτε πλὴν φωνεῖτε οὐδὲν ἕλκοντες. V

book 505b πλὴν δικάζετε R: οὐδὲν πρὸς τὴν εἰρήνην τοῦτο, ἀλλ’ εἰς φιλοδικίαν αὐτοὺς διαβάλλει. φησὶν οὖν· RV ἐν οὐδενὶ ἱκανοί ἐστε πλὴν ἐν τῷ δικάζειν. RVLh

book 505c καλῶς καὶ τοὺς Ἀθηναίους ἀπέσκωψεν, ἵνα μὴ τὸ πᾶν διαβάλῃ ποίημα RV ὡς ἐν πᾶσιν αὐτοῖς χαρίζεσθαι προαιρούμενος καὶ ἀποκρύπτων αὐτῶν τὰς αἰτίας, ὅπερ ἂν ἔδοξε ποιεῖν μηδὲ χαριεντισάμενος καὶ πρὸς αὐτούς. ὅρα τοίνυν, πῶς ἀμφότερα διαπράττεται, καὶ τὸ ἀδιάφορον τῶν σκωμμάτων ἀποκρύπτων τὰ μείζονα· ἐπεί, εἴγε καὶ αὐτῶν καθάπτεσθαι ἐβούλετο, εἰ καὶ μηδὲν ἕτερον εἶχε κατὰ τῶν Ἀθηναίων εἰπεῖν, ἐγγύθεν γοῦν ἠδύνατο ἀπὸ τῶν Μεγαρέων λαβεῖν μνημονεύσας τοῦ κατ’ αὐτῶν ψηφίσματος. ὅπερ μετ’ ὀλίγον ποιήσει· ἀλλ’ ἐπειδὰν εἰς ἐκεῖνα γενώμεθα, τὴν ἀρετὴν τοῦ ποιητοῦ δείξομεν λέγοντες τὴν αἰτίαν, δι’ ἣν οὐ νῦν ἐμνημόνευσεν, ἀλλὰ τότε. V

book 505d πλὴν δικάζετε] δέον εἰπεῖν “ἐμποδίζετε” “δικάζετε” λέγει σκώπτων αὐτοὺς ὡς φιλοδίκους. Lh

book 507a πρὸς τὴν θάλατταν Lh: ἴσως διὰ τούτου V τῆς πρὸς τοὺς Πέρσας ναυμαχίας ὑπομιμνήσκει αὐτοὺς VLh ἀναφέρων, ὡς ὅτι καὶ ἐπ’ ἐκείνων τῶν χρόνων ἐθαλασσοκράτουν Ἀθηναῖοι. V

book 507b πρὸς τὴν θάλατταν R: καθ’ ὃ ἐπιβαίνοντες ἔτεμνον τὴν Λακωνικὴν καὶ τὴν ἄλλην Πελοπόννησον. RV ἀποχωρεῖτε οὖν, φησί, καὶ ἀποπλέετε εἰς τὰ ἴδια, καὶ ὀλίγον τῆς κατὰ θάλατταν βίας ἔνδοτε. ἐθαλασσοκράτουν γὰρ τότε. RVLh

book 507c ἐπειδὴ γὰρ Ἀθηναῖοι πρὸς τῇ θαλάσσῃ εἰσίν, ἐκώλυον τοῖς μεσογείοις ἔχειν τὰ ἀναγκαῖα. φησὶν οὖν· ὅτι, εἰ θέλετε εἰρηνεῦσαι, τὶ πρὸς τὴν ἑαυτῶν χώραν καὶ τὸν ἴδιον τόπον καὶ τὸ παρὰ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

θάλατταν ὑποχωρήσατε, καὶ μὴ τῶν ἀλλοτρίων ἀντιποιεῖσθε. τῶν μεσογείων δῆλον ὅτι ἤθελον καὶ τῆς γῆς κρατεῖν. V

book 507d πρὸς τὴν κτλ.] οἷον ἐκ τῆς θαλάττης μικρὸν ὑποχωρήσατε, τουτέστι τοῦ ναυμαχεῖν. Lh

book 507e —· Lh

book 508 σύστημα ἕτερον. Lh

book 509 χωρεῖ γέ τοι τὸ πρᾶγμα R: τοὺς μὲν ἄλλους πάντας τοῦ ἕλκειν ἀπέστησεν ὁ Ἑρμῆς τοῖς γεωργοῖς μόνοις ἐπιτρέψας ἕλκειν. διό φησι νῦν· προκόπτει τὸ ἔργον. RV

book 512a ἄγε νῦν ἄγε πᾶς R: διπλῆ καὶ εἴσθεσις εἰς περίοδον κώλων η′ ἀμοιβαίων τοῦ χοροῦ καὶ τοῦ ὑποκριτοῦ. τὸ πρῶτον ἀναπαιστικὸν διπλοῦν· τὸ β′ ἰαμβικὸν ἑφθημιμερές· τὸ γ′ καὶ τὸ δ′ ἰαμβικὸν δίμετρον ἀκατάληκτον· 〈…〉 ζ′ καὶ η′ ὁμοίως. R

book 512b ἄγε νῦν LhAld ἄγε πᾶς Lh: κορωνὶς καὶ εἴσθεσις χοροῦ μονοστροφικὴ κώλων η′. ὧν τὸ πρῶτον ἀναπαιστικὴ βάσις LhAld ἤτοι μονόμετρον ἀκατάληκτον· Lh τὸ δεύτερον ὅμοιον δίμετρον LhAld ἀκατάληκτον· Lh

book 512b alpha τὸ γ′ καὶ δ′ ἰαμβικὰ δίμετρα ἀκατάληκτα· τὸ ε′ ἰαμβικὸν ἑφθημιμερές· τὸ ζ′ ὅμοιον τῷ γ′· Lh

book 512b beta 〈τὰ γ′ δ′ ς′ ἰαμβικὰ δίμετρα· τὸ ε′ ὅμοιον ἑφθημιμερές·〉 Ald

book 512b τὸ ζ′ παιωνικὸν τρίμετρον ὑπερκατάληκτον ἐκ παλιμβακχείων καὶ κρητικοῦ· τὸ η′ δίμετρον ὑπερκατάληκτον ὅμοιον. LhAld

book 512b alpha ἐπὶ τῷ τέλει κορωνίς. Lh

book 512b beta 〈ὑφ’ ὃ κορωνίς.〉 Ald

book 512c στροφὴ κώλων η′. Lh

book 513 καὶ μὴν ὁμοῦ ’στιν ἤδη: ἀντὶ τοῦ “ἐγγύς”. R

book 514-515a ἀντὶ τοῦ “ἕλκωμεν”. R

book 514-515b [para]515] ἰσχυρότερον ἑλκύσωμεν. Lh

book 516a ἀνηνέχθη ἡ Εἰρήνη. R

book 516b τὸ ἀνελθεῖν. Lh

book 516c [para]516] τὸ ἑλκυσθῆναι τὴν Εἰρήνην. Lh

book 517 οὕτως εἰώθασιν οἱ ἐπιστατοῦντες ἐπέχειν τὴν ὁρμὴν τῶν ἑλκόντων. R

book 519 Lh

book 520a ὦ πότνια: εἴσθεσις διπλῆς ἀμοιβαίας στίχων να′, ὧν οἱ μὲν λγ′ ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι, LhAld ὧν τελευταῖος τὰ γεωργικὰ σκεύη λαβόντας εἰς ἀγρόν, Lh οἱ δὲ ἑξῆς ιη′ τροχαϊκοὶ τετράμετροι καταληκτικοί, LhAld ὧν τελευταῖος καὶ τριαινοῦν τῇ δικέλλῃ διὰ χρόνου τὸ γήδιον. Lh

book 520a alpha ἐπὶ τῷ τέλει διπλῆ ἔξω νενευκυῖα, καὶ ἐπὶ ταῖς ἀποθέσεσι παράγραφος. Lh

book 520a beta 〈ἐπὶ ταῖς ἀποθέσεσι παράγραφος, ἐπὶ δὲ τῷ τέλει ἡ ἔξω διπλῆ.〉 Ald

book 520b ἐπεὶ ἐν εἰρήνῃ φύονται οἱ ἄμπελοι. V

book 520c ᾠκείωσε τοῖς γεωργοῖς καὶ τὰ παρ’ αὐτῶν ἐπίθετα, “βοτρυόδωρε” καὶ “μυριάμφορον”. V

book 520d οἷον βότρυς δωρουμένη. V

book 520e 〈ὦ εὐφραντοποιέ.〉 Ald

book 520f ※ Lh

book 521a μυριάμφορον: τίμιον καὶ πολυπληθῆ. V

book 521b μυρίων ἀμφορέων ἄξιον. V

book 521c μυρία κεράμια χωρῆσαι δυνάμενον. V

book 521d ἀπὸ τῶν ληνῶν καὶ πίθων τῇ μεταφορᾷ ἐχρήσατο. V

book 522 οἴκοθεν R: ἄξιόν σου ἔπαινον οὐκ εἶχον οἴκοι. ἐπαύξησις δὲ τῶν παρελθόντων κακῶν, εἴ γε καὶ μέχρι τῶν τοιούτων ἐστέρηνται ῥημάτων. RV

book 523 ὡς καὶ τούτων σὺν τῇ Εἰρήνῃ ἀνελθουσῶν. ὑποτίθεται δὲ αὐτὰς ὡς πόρνας. RLh

book 526alpha ὥσπερ ἀστρατείας R: ἀντὶ τοῦ “εἰρήνης”· ἐπεὶ ἐν εἰρήνῃ οὐ στρατεύονται. θέλων δὲ εἰπεῖν “εὐωδίας” ἢ ἄλλου τοιούτου τοῦτο παρ’ ὑπόνοιαν εἶπεν. RV

book 526beta ἀστρατείας] ἀντὶ τοῦ “εἰρήνης”. παρ’ ὑπόνοιαν δὲ ἀντὶ τοῦ “εὐδίας”. Lh

book 527a καὶ γυλίου στρατιωτικοῦ R: πλέγματος στρατιωτικοῦ σκευοφόρου 〈ἐπιμήκους εἰς ὀξὺ λήγοντοσ〉 πρὸς τὸ μὴ κατάγνυσθαι. RV

book 527b alpha πλέγμα τι RV σκευοφόρον V στρατιωτικόν, ἐν ᾧ ἀποτίθενται τυρὸν καὶ ἐλαίας καὶ κρόμμυα. ἔστι δὲ καὶ ζῷον, οὗ μέμνηται Σώφρων RV Ἡράκλεις πνίγος γύλιον τί. ἔστι δὲ V ὁ καλούμενος ὑπό τινων χοιρογρύλλιος. RV

book 527b beta γυλίου: πλέγμα σκευοφόρον στρατιωτικὸν ὁ γύλιος, εἰς ὃ τὰς τρόφας ἄγονται οἱ στρατιῶται. ἔστι δὲ καὶ ζῷον, ὃ καλεῖται ὑπό τινων χοιρογρύλιος. Lh

book 527c —̇ Lh

book 528a φησίν· RVLh ὅτι RV οὐ ταὐτὸν ὄδωδεν ὁ γύλιος καὶ ἡ Θεωρία. RVLh

book 528b πλέκος: πλέγμα· τοιοῦτος γὰρ ὁ γρύλιος. V

book 528c alpha ἐσχημάτικεν, ὡς ἀπὸ τοῦ βλέπω βλεπτὸς καὶ ἀττικῶς βλέπος, καὶ ὡς ἀπὸ τοῦ ῥέω ῥέος. V

book 528c beta 〈ὡς ἀπὸ τοῦ βλέπω βλέπος οὐδετέρως καὶ ἀπὸ τοῦ ῥέω ῥέος— Αἰσχύλος· ὁδοιπόρῳ διψῶντι πηγαῖον ῥέος—, οὕτω καὶ πλέκος.〉 Su. IV 145, 8

book 528d ἔστιν Εὐριπίδου ἐκ Τηλέφου ἢ Τληπολέμου· ἀπέπτυς’ ἐχθροῦ φωτὸς ἔχθιστον τέκος. V

book 529a καὶ διὰ τούτων σύγκρισιν ποιεῖται τῶν τῆς εἰρήνης καλῶν καὶ τῆς ἐν τῷ πολέμῳ ταλαιπωρίας. RV

book 529b κρομμυοξυρεγμίας Lh: ἀπεψίας. RLhbis

book 529c δριμεῖα γὰρ καὶ ἀηδὴς ἡ τοιαύτη ἐρυγή. Lh

book 529d ἀπὸ τῶν κρομμύων καὶ τῆς ὀξύτητος καὶ τῆς ἐρυγῆς συνέθηκε τὴν λέξιν. ταῦτα γὰρ εἰώθασι κομίζειν εἰς VLh τὸν Lh πόλεμον. VLh ἐξ ὧν δυσώδης καὶ ὁ γύλιος. V

book 529e ὅτι ἐπὶ πολὺ ἐγκαλυπτόμενος ὁ γύλιος ἐκ τῶν διαφόρων ὄψων τε καὶ ζωμῶν ὀξίδος σύμμικτόν τινα ὀσμὴν ὄδωδεν, οὐχ ὡς ἡ Θεωρία. V

book 530 ὑποδοχῆς Διονυσίων R: ἀντὶ τοῦ “πλήθους καὶ πολλῶν Διονυσίων”. ἐν γὰρ εἰρήνῃ συνεχῶς ἦν ἡ θέα. RV

book 531a αὐλῶν, RLh τραγῳδῶν Lh: ἐπεὶ καθόλου μὲν ὁ αὐλὸς ἐν εὐωχίαις ἀεὶ καὶ θαλίαις ἐξετάζεται. ἐν δὲ τοῖς ἱσταμένοις χοροῖς, οὓς συνίστασαν οἱ χορηγοὶ διὰ τῶν Διονυσίων, πάντως καὶ αὐλητὰς ἔδει προσιέναι, RVLh ὡς Δημοσθένης ἐν τῷ κατὰ Μειδίου μαρτυρεῖ οὕτω λέγων· “καὶ εἰ μὴ Τηλεφάνης ὁ αὐλητὴς ἀνδρῶν βέλτιστος περὶ ἐμὲ ἐγένετο”. RV

book 531b ὅτι ἡδέα τὰ μέλη Σοφοκλέους. VLh περιέργως δέ τινες εἰς τὰ ἐν τῷ Ἰνάχῳ περὶ τοῦ ἀρχαίου βίου καὶ τῆς εὐδαιμονίας· εὐδαίμονες οἱ τότε γενεᾶς ἀφθίτου λαχόντες θείας. V

book 531c κιχλῶν: αἱ RV μὲν R κίχλαι εἶδος στρουθῶν, δοκοῦσι δὲ πρὸς τρυφὴν ἐκ τῶν ἄλλων πτηνῶν περισπούδαστοι εἶναι μᾶλλον. ἀεὶ δὲ τὸν Σοφοκλέα σεμνολογεῖν βούλεται οὐ φιλῶν αὐτὸν

ὅσον Εὐριπίδην μισῶν. τὸ κάλλιστον οὖν τῶν ἐδεσμάτων μετὰ τὴν ἐκείνου μνήμην εὐθὺς ἐπήγαγεν ἐνδεικνύμενος, ὡς πάντων τῶν ἄλλων ἀναγκαιότερα τὰ αὐτοῦ ποιήματα τῇ χρήσει τῶν κιχλῶν παραβαλλόμενα. RV

book 532alpha ὅρα, πῶς τὸν μὲν Σοφοκλέα καὶ τοῖς ὀνόμασιν ἐπαίρει, τὸν δὲ Εὐριπίδην σμικρύνει, ἐπ’ ἐκείνου μὲν λέγων “μελῶν”, ἐπὶ Εὐριπίδου δὲ “ἐπυλλίων”. Lh

book 532beta θέασαι, πῶς τὸν μὲν Σοφοκλέα καὶ τοῖς ὀνόμασιν ἐξαίρει, τὸν δὲ Εὐριπίδην σμικρύνει, ἐκεῖ μὲν λέγων “Σοφοκλέους μελῶν”. ἐνταῦθα δὲ “ἐπυλλίων Εὐριπίδου”. V

book 534a δικανικῶν: τοιαῦτα γάρ—δικανικώτερα—τὰ Εὐριπίδου. V

book 534b δικανικῶν] ἐχόντων πεύσεις καὶ ἀποκρίσεις. RV

book 534c ἐπεὶ τὰ Εὐριπίδου ἀντιλογίας πολλὰς ἔχει καὶ δικαζομένους εἰσάγει. V

book 535a 535] πάλιν ἐπὶ τὰ τῆς θεωρίας ἐπανέδραμεν ἐγκώμια. VLh δεῖ οὖν ἀπὸ κοινοῦ νοεῖν μετὰ τῶν ὀδω 〈δῶ〉 ν 〈ὧν〉 προεῖπεν. καὶ τοῦ ὄδωδεν. V

book 535b διυλιστῆρος ἢ πλέγματος, ἔνθα ἐκ τῆς ληνοῦ εἰώθασιν ἐκπιέζειν. καὶ ἔστιν ἡ εὐθεῖα τρύγοιπος προπαροξυτόνως, οὐχ ὁ τρυγοίπης, ὡς οἴονταί τινες. V

book 536a ἐπεὶ ὅταν πολὺ σταῖς κομίζωσιν, ὀλίγον τι κολπώσασαι τοῦ χιτῶνος ἐκ περιζώματος ἐκεῖ ἐντιθέασιν. V

book 536b κόλπου γυναικῶν Lh: πολλάκις VLh γὰρ V ἐν εἰρήνῃ ὑπὸ κόλπους VLh αἱ γυναῖκες Lh φέρουσί τι. VLh

book 536c καὶ VLh πάλιν εἰρήνης οὔσης αἱ γυναῖκες V ἀδεῶς εἰς τοὺς ἀγροὺς ἐξέρχονται καὶ ἀνθολογοῦσιν. VLh

book 536d alpha γράφεται εἰς ἰπνόν. ἰπνός ἐστιν ὃ ἡμεῖς καμίνιον καλοῦμεν. V

book 536d beta ἀγρόν] ἀντὶ τοῦ εἰπεῖν “εἰς ἰπνόν” εἶπεν “εἰς ἀγρόν”. ἰπνὸς δὲ ἡ παρ’ ἡμῖν κάμινος. Lh

book 537a ὑπερβολὴ εὐωχίας ὅτι καὶ οἱ δοῦλοι μεθύουσιν, RVLh ὡς ἐν εἰρήνῃ. VLh

book 537b ἀνατετραμμένου χοῶς RLh: ἀνακαλυφθέντος ἢ κενωθέντος εἰς γῆν, ὡς οἱ ἐν τοῖς πότοις σφαλλόμενοι RVLh ὑπὸ μέθης V ἐν τῷ ὑπηρετεῖν ἢ παίζειν τὰ τοιαῦτα RV εἰώθασι ποιεῖν. RVLh

book 538a ἄλλων τε πολλῶν] μετὰ τὸ κατὰ μέρος πάντα εἰπεῖν ἐπήγαγε καὶ τὸ γενικόν, ἵνα καὶ ἄλλων πολλῶν δόξαν παράσχηται. VLh

book 538b νυν] δή. Lh

book 541 σφόδρα πληγεῖσαι παρὰ τοῦ πολέμου VLh καὶ ἰσχνανθεῖσαι. Lh παρὰ τὰ ὑπώπια. VLh 〈ὑπώπια〉 δέ ἐστιν ὑπὸ τῶν ὄψεων τὰ ὀγκώματα καὶ κρούσματα, ἅπερ κορδύλας φασίν. V.

book 542a διὰ τοῦ “ἁπαξάπασαι” πάλιν τοὺς Ἀθηναίους θεραπεύει, ἵνα μὴ οὗτοι μόνον, ἀλλὰ καὶ πάντες ἐπταικέναι δόξωσιν. ἄλλως τε καὶ αὔξησις τοῦ κακοῦ, εἰ μὴ μέρος ἔβλαψε τῶν Ἑλλήνων ὁ πόλεμος, ἀλλ’ ἁπλῶς εἰπεῖν ἁπάσας τὰς πόλεις. V

book 542b καὶ κυάθοις R: τοῖς κυάθοις προσθλῶσι τὰ ὑπώπια. RV

book 542c ἐπεὶ ἐν ὀξυβάφοις χαλκοῖς τὰ ὑπώπια ἀνατρίβοντες ἢ τοιούτοις RV οὖν R τισιν ἀφανῆ ποιοῦσιν. καὶ Ἀπολλοφάνης ἐν Ἰφιγέροντι κύαθον λάβοιμι τοῖς ὑπωπίοις. RV

book 542d ὀξύβαφα χαλκᾶ πυρώσαντες καὶ ἐπιθέντες ἐθεράπευον τοὺς ἐκ τῶν πληγῶν μώλωπας. V

book 542e καὶ κυάθοις κτλ.] ὀξυβάφοις. τούτοις γὰρ ἀνατρίβοντες τοὺς ἐκ τῶν πληγῶν ἐθεράπευον μώλωπας. Lh

book 543 ἁπλουστέρως ἐκδεκτέον τοῦτο· ἔστι γὰρ ἐν οὐρανῷ τὰ πράγματα. VLh

book 544

ἵνα γνῷς Lh: ἵνα VLh διαγνῷς καὶ Lh διακρίνῃς ἐκ τοῦ ἱλαροὺς εἶναι ἢ κατηφεῖς, ποίαν τις αὐτῶν τέχνην μεταχειρίζεται. οἱ μὲν γὰρ τὰ πολεμικὰ ἀσκοῦντες ἀχθόμενοι τοῖς παροῦσιν, καὶ ὅτι ἀργοὶ ἔσονται, στυγνοί εἰσι καὶ κατηφεῖς, οἱ δὲ τὰ εἰρηνικὰ ἱλαροί. VLh

book 546 τίλλονθ’ ἑαυτὸν: τίλλειν ἑαυτὸν λέγεται τὸ τῶν ἑαυτοῦ τριχῶν ἐπιλαμβάνεσθαι καὶ σπαράττειν τὰς κόμας. VLh

book 546alpha προσφορώτατα οὖν τὸν λοφοποιὸν τῇ κεφαλῇ καὶ ταῖς θριξὶν αὐτοῦ ἐποίησε λωβώμενον, ἐπεὶ καὶ ὁ λόφος τῆς κεφαλῆς 〈ἐστι〉 σκεπαστήριον. V

book 546beta προσφορώτατον δὲ τὸν λόφον νοεῖν τίλλειν, ἐπεὶ καὶ ὁ λόφος τῆς κεφαλῆς ἐστι κάλυμμα. Lh

book 549a οἷον R ἐσκιμάλισεν RΓ: τῷ μέσῳ δακτύλῳ συναρμόσας τὸν μέγαν καὶ πλήξας ἐφυβρίζει. RVΓ

book 549b ἐσκιμάλισεν Lh: ἀντὶ τοῦ V “κατεδακτύλισεν”· σκιμαλίσαι γάρ ἐστι κυρίως τὸ τὸν δάκτυλον εἰς τὸν πρωκτὸν τοῦ ὀρνέου βαλεῖν. οὐ μόνον δὲ τοῦτο, ἀλλὰ καὶ ὅταν βουλόμενοι ἐφυβρίσαι τινὰ τὸν μέσον δάκτυλον ἐντείνοντες VΓLh καὶ τοὺς λοιποὺς συνάγοντες VΓ δείξωσιν αὐτόν. VΓLh

book 550 νυν] δή. Lh

book 553a ἐν ἐπεκθέσει στίχοι καταληκτικοὶ τροχαϊκοὶ ιη′, ὧν τελευταῖος καὶ τριαινοῦν VΓ τῇ δικέλλῃ. V

book 553b ὡς τάχιστ’ ΓLh ἄνευ δορατίου Γ: παρὰ ΓLh τὰ τοῦ πολέμου κακά. πρώην γὰρ οὐδεὶς δίχα σιδήρου ἐξῄει εἰς τὸν ἀγρὸν ὑφορώμενος VΓLh τοὺς Lh πολεμίους· νῦν δὲ εἰρήνης οὔσης παρακελεύεται μὴ βαστάσαι σίδηρον. VΓLh

book 554a κυρίως μὲν σαπρὸν οἱ παλαιοὶ ἔλεγον τὸ σεσηπὸς διὰ τὸν χρόνον· χρῶνται δὲ αὐτῷ καὶ ἀντὶ τοῦ “ἀρχαίου καὶ παλαιοῦ”. VΓ

book 554b alpha ἀρχαίας. ἢ ἀντὶ τοῦ “παλαιᾶς.” R

book 554b beta σαπρᾶς VΓ: παλαιᾶς VΓbis καὶ ἀρχαίας. VΓ

book 555 παιωνίσας RVΓ: εὐξάμενος τοῖς θεοῖς ὁμολογήσας χάριν. RVΓLh παιὼν γάρ ἐστιν ὕμνος εὐχαριστήριος. RVΓ

book 556 ὦ ποθεινὴ Γ: οἱ γεωργοὶ ταῦτά φασι πεισθέντες τῷ κηρύγματι. VΓLh

book 558a τάς τε συκᾶς RΓLh: περισπούδαστα γὰρ πᾶς ἡγεῖται ἅπερ ἂν αὐτὸς ἐργάσηται. RVΓLh

book 558b τάς τε συκᾶς Lh: διὰ τούτου τὸν πολὺν τοῦ πολέμου χρόνον δηλοῖ, ὅτι νεώτερος ὢν ἐφύτευσε τὰς συκᾶς, ἃς οὐκ εἶδε γηράσας. καὶ οὐκ ἀρκεσθεὶς τούτῳ ἐπήγαγε “πολλοστῷ χρόνῳ”. RVΓLh

book 559 θυμὸς] ἐπιθυμία. VΓ

book 561a ἧπερ ἡμῶν τοὺς λόφους R: τοῦτο πάλιν εἰς τὸν Λάμαχον RVΓLh αἰνίττεται. R(Neap)

book 561b καὶ τὰς Γοργόνας Γ: ἤγουν Lh πᾶν σκεῦος ἁρμόζον ΓLh ἐν Γ τῷ Lh πολέμῳ. ΓLh

book 562a εἶθ’ Γ: εἶτα· μετὰ τὸ εὔξασθαι τῇ θεῷ. VΓLh

book 562b λιταργιοῦμεν Γ: ἀντὶ τοῦ RVLh “συντόνως δραμούμεθα”. RVΓLh

book 562c παρὰ τὸ λίαν ἀργόν. VΓLh

book 563a ἐμπολήσαντές] ἀγοράσαντες. R

book 563b χρηστὸν] χρήσιμον. RΓLh

book 564a ὦ Πόσειδον RVΓ: ὁ Ἑρμῆς ὁρῶν τοὺς ἀγροίκους RVΓLh εἰς ἀγρὸν R ἐξιόντας φησὶ τὸ “ὦ Πόσειδον”. RVΓLh

book 564b τὸ στῖφος] τὸ σύστημα, τὸ πλῆθος. Γ

book 565a καὶ πυκνὸν καὶ γοργὸν] ἐπεὶ διὰ χρόνου ἐξιόντες ἔσπευδον. ΓLh

book 565b μᾶζά ἐστιν ὁ στριφνὸς ἄρτος. RVΓLh

Eulogikon public reading copy · View original HTML at eulogikon.org

book 565c πανδαισία RVΓ: πανδαισία Γ ἡ δαψιλὴς καὶ παντοία εὐωχία. RVΓLh

book 565d alpha πανδαισίαν φασί τινες, ὅταν δεῖπνον ἕκαστος αὑτῷ κομίζων εἰς τὸ κοινὸν κατατιθῆται καὶ πάντες πάντων μετέχωσιν. R

book 565d beta φασὶ πᾶν δεῖπνον, ἐν ᾧ ἕκαστος αὑτῷ κομίζων εἰς κοινὸν κατατίθεται καὶ πάντες πάντων μετέχουσιν. VΓLh

book 565e πανδαισίαν τὴν ποικίλην καὶ ἐκ διαφόρων ὄψων εὐωχίαν, ὅταν ἕκαστος τὰ ἑαυτοῦ ὄψα ἀνενέγκῃ καὶ καταθῆται εἰς τὸ κοινόν· ἢ ὅταν πολλῶν προκειμένων ἐδεσμάτων λάβῃ τις ὃ θέλει. οἱ δὲ πανδαισίαν λάχανόν τι ἔχον παντοῖον ἔδεσμα. VΓ

book 565f τὸ στῖφος αὐτῶν εἰκάζει ἀλφίτοις καὶ μάζῃ διὰ τὸ πυκνόν. VΓLh

book 565g ἐπειδὴ πυκνοῦνται ὅπου μὲν τὰ ἄλφιτα, ὅπου δὲ οἱ ἑστιώμενοι. VΓLh

book 565h πανδαισία Lh: ὅταν γὰρ εἰς κοινὸν ἑστιῶνται ἑκάστου φέροντος ἑαυτῷ δεῖπνον, πυκνὰ πάντα φαίνεται πῇ μὲν τὰ προσφάγια φερόντων, πῇ δὲ αὐτῶν ἑστιωμένων. RVΓLh

book 565i τὸ ὅλον· πυκνὸν οὖν ὥσπερ μᾶζα καὶ πανδαισία. VΓLh

book 566 ἡ γὰρ σφῦρα Γ: νοῆσαι δεῖ τὸν χορὸν σφύρας ἔχοντα, αἷς βωλοκοποῦσι, καὶ θρίνακας καὶ σκεύη ἄλλα γεωργικά, δι’ ὧν τὰς βώλους τῆς γῆς ἔμελλον θραύσειν. RVΓ

book 567a αἵ τε R θρίνακες: τὰ πτύα. RVΓ

book 567b ἐργαλεῖον ᾧ ἀποχωρίζουσι τῶν σπερμάτων τὰ ἄχυρα. VΓ

book 567c παρέοικεν ἐν ταῖς ἅλωσι πρὸς τὸν ἄνεμον ἐπαίρουσι τὰ ἄχυρα ὑπὲρ τοῦ ἀποπτῆναι καὶ καθαρισθῆναι τὸν πυρὸν ἢ τὰς κριθὰς ἢ ἄλλο τι τῶν τοιούτων γεννημάτων. Γ

book 568a ἀπαλλάξειεν R: μετακινήσειεν. RΓLh

book 568b μετόρχιον: τὸ μεταξὺ τῶν ὄρχων. ὄρχοι δὲ VΓLh καλοῦνται VΓ τὰ μέσα τῶν ἐλαιῶν καὶ τῶν ἀμπέλων. VΓLh

book 568c μετόρχιόν ἐστι τὸ μεταξὺ τῶν συμφύτων πεδίον, ἐν ᾧ ὁ σῖτος ἐν ἅλῳ ἔσπαρται. παίζων οὖν εἶπεν· RVΓ ὅτι VΓ ἠδύνατό τις διασχίσας αὐτοὺς ποιῆσαι μετόρχιον, ἐπειδὴ πολλοί εἰσιν. RVΓ

book 568d μεταξύ, ἵνα αὐτοὶ ἀντὶ τῶν φυτῶν γένωνται. RVΓ

book 568e τινὲς μετόρχιον τὸ μεταξὺ τῶν φυτῶν. RVΓ

book 568f μετόρχιον VΓ: τὸ μεταξὺ τῶν χωρίων, ὅπερ λέγεται ὄρχος. καλῶς ἄν, φησί, μεταστήσειε τὰ φυτὰ ἀπὸ τῶν ἀρουρῶν τῶν σπειρομένων. RVΓ

book 570a τριαινοῦν: ἠρέμα σκάπτειν καὶ ἐπισύρειν τὰς βώλους ὑπὲρ τοῦ κρύπτειν τὰ σπέρματα. RVΓLh

book 570b διὰ χρόνου Γ γήδιον VΓ: ὑποκοριστικῶς ἀντὶ τοῦ “τὴν γῆν”. RVΓLh

book 570c > Lh

book 571a ἀλλ’ ἀναμνησθέντες Γ: διπλῆ καὶ μέλος ἀμοιβαῖον. τὸ μὲν τοῦ ὑποκριτοῦ δέκα κώλων τροχαϊκῶν, ὧν ἐν εἰσθέσει ἐννέα ἀκατάληκτα, δίμετρα τὰ ὀκτώ, μονόμετρον δὲ τὸ VΓ ἓν τὸ V παρατέλευτον, καὶ ἐν ἐκθέσει στίχος τροχαϊκὸς τετράμετρος καταληκτικός. VΓ

book 571b ἀλλ’ ἀναμνησθέντες Lh: ἡ ἔκθεσις αὕτη τῆς διπλῆς κώλων ἐστὶν ὁμοίων τροχαϊκῶν ιαʹ, ὧν τὸ ηʹ μονόμετρον, τὰ δὲ λοιπὰ δίμετρα ἀκατάληκτα. LhAld

book 571b alpha τὸ δὲ ιαʹ, τὸ τὴν θεὸν προσείπατε, δίμετρον καταληκτικὸν ἤτοι ἑφθημιμερὲς εὐριπίδειον. ἐπὶ τῷ τέλει δύο διπλαῖ ἔξω νενευκυῖαι, ἡ μὲν ἐν ἀρχῇ τοῦ κώλου, ἡ δὲ κατὰ 〈τὸ〉 τέλος. Lh

book 571b beta 〈τὸ τελευταῖον ἑφθημιμερές. ὑφ’ ὃ αἱ ἀμφοτέρωθεν ἔξω διπλαῖ.〉 Ald

book 574 τῶν τε παλασίων R: τῶν πεπατημένων ἰσχάδων. τινὲς δὲ τῶν παλαθῶν· παλάθαι δὲ εἶδος βοτάνης. RΓLh

book 576 ἀντὶ τοῦ “νέου οἴνου”. R

book 577a τῆς RΓ ἰωνιᾶς RVΓ τε RΓ: ἰωνιὰ λέγεται ἡ φυτεία τῶν ἴων, ὡς καὶ ἡ τῶν ῥόδων ῥοδωνιά. RVΓ

book 577b ὅπου τὰ ῥόδα φύεται. RVΓ

book 577c ἄνθος ἐστὶ τὸ ἴον διάφορον μορφὴν ἔχον· ἃ μὲν γὰρ αὐτῶν ἐστι πορφυρᾶ, ἃ δὲ λευκά, ἃ δὲ μέλανα. καὶ ἐν τούτῳ τῶν ἴων τὸ θαυμαστόν ἐστιν, ὅτι τῇ ποικιλίᾳ τῆς ὄψεως αὐτὰ καθ’ ἑαυτὰ δύναται λειμῶνα πληροῦν. RVΓ

book 578 τῶν τ’ ἐλαῶν: παρατηρητέον ὅτι τῶν ἄλλων καρπῶν καὶ φυτῶν ἁπλῶς μνημονεύσας ἐπὶ τῶν ἐλαῶν ἐπήγαγε τὸ “ὧν ποθοῦμεν”. καὶ ἴσως ἢ ἐπεὶ δῶρον τῆς Ἀθηνᾶς, ἢ ὅτι εὔφορός ἐστιν ἡ Ἀττικὴ ἐξαιρέτως εἰς τὸν τῆς ἐλαίας καρπόν. RVΓ

book 581 〈 〉 Lh

book 582a χαῖρε χαῖρ’: διπλῆ καὶ τοῦ χοροῦ κῶλα γ′ τροχαϊκά. ἔστι δὲ τὸ ὅλον τροχαϊκὸν ἑξάμετρον. τινὲς γράφουσιν “ἐδάμημεν” καί φασι τὰ μὲν β′ τροχαϊκὰ ἀκατάληκτα, τὸ δὲ γ′ τροχαϊκὸν καταληκτικόν. V

book 582b χαῖρε χαῖρ’ ὦ φίλταθ’: κορωνὶς καὶ εἴσθεσις χοροῦ μονοστροφικὴ κώλων κα′· LhAld

book 582b alpha ὧν τὸ α′ τροχαϊκὸν δίμετρον καταληκτικὸν εὐριπίδειον· τὸ β′ ὅμοιον δίμετρον ἀκατάληκτον· τὸ γ′ ἰωνικὸν ἀπὸ μείζονος δίμετρον ἀκατάληκτον παίωνα ἔχον ἀντὶ ἰωνικοῦ· τὸ δ′ δακτυλικὸν πενθημιμερές· τὸ αὐτὸ δὲ καὶ χοριαμβικὸν δύναται εἶναι δίμετρον καταληκτικόν· τὸ ε′ παιωνικὸν δίμετρον ἀκατάληκτον ἐκ παίωνος καὶ κρητικοῦ· τὸ ς′ ὅμοιον τῷ β′ τοῦ β′ ποδὸς δακτύλου· τὸ ζ′ ὅμοιον τῷ α′· τὸ η′ ὅμοιον τῷ γ′· τὸ θ′ ὅμοιον τῷ δ′· τὸ ι′ ἰαμβικὸν δίμετρον ἀκατάληκτον ἀνακρεόντειον· τὸ ια′ ὅμοιον τῷ ε′· τὸ ιβ′ ὅμοιον ἐκ παιώνων· τὸ ιγ′ ὅμοιον καταληκτικόν· τὸ ιδ′ ὅμοιον τῷ β′· τὸ ιε′ ὅμοιον τῷ α′· τὸ ις′ καὶ ιζ′ ὅμοια τῷ ιβ′· τὸ ιη′ ὅμοιον τῷ δ′· τὸ ιθ′ ἀναπαιστικὸν δίμετρον ἀκατάληκτον· ὁ κ′ καὶ κα′ ἐν ἐκθέσει στίχοι εἰσὶ τροχαϊκοὶ τετράμετροι καταληκτικοὶ ὅμοιοι τοῖς

book 582b alpha ἑξῆς. ἐπὶ τῷ τέλει κορωνίς. Lh

book 582b beta 〈ὧν τὰ α′ ζ′ ιε′ τροχαϊκὰ ἑφθημιμερῆ· τὰ β′ ς′ ιδ′ δίμετρα ἀκατάληκτα· τὰ γ′ η′ ὅμοια, ἰωνικὰ μέντοι ἀπὸ μείζονος· τὰ δ′ θ′ ιη′ δακτυλικὰ πενθημιμερῆ· τὰ ε′ ια′ ιβ′ ις′ ιζ′ παιωνικὰ δίμετρα ἀκατάληκτα· τὸ ι′ ὅμοιον, ἰαμβικὸν μέντοι· τὸ ιγ′ παιωνικὸν ἑφθημιμερές· τὸ ιθ′ ἀναπαιστικὸν δίμετρον ἀκατάληκτον· ὁ κ′ κα′ ἐν ἐκθέσει στίχοι εἰσὶ τροχαϊκοὶ τετράμετροι καταληκτικοὶ ὅμοιοι τοῖς ἐν τῇ εἰσθέσει τῆς διπλῆς ἀμοιβαίας μη′. ἐπὶ τῷ τέλει τῶν μὲν τοῦ χοροῦ κορωνίς, τῆς δὲ διπλῆς ἡ ἔξω διπλῆ. ἐπὶ μέντοι ταῖς ἀποθέσεσιν ἡ συνήθης παράγραφος.〉 Ald

book 582c στροφὴ κώλων κα′. Lh

book 582d τὸ τέλειον φιλτάτη σκληρῶς τοῦ η συναλειφθέντος. RVΓ

book 584 ὅτι ἀπὸ πληθυντικοῦ εἰς ἑνικὸν μετῆλθεν. VΓC

book 585a δαίμονα: εἶτ’ ἐν ἐκθέσει παιωνικὸν τετράρρυθμον ἀκατάληκτον καὶ ἐν ἐκθέσει τετράμετρος καταληκτικὸς τροχαϊκός. εἶτ’ ἐν εἰσθέσει δ′ κῶλα, ὧν τὰ γ′ παιωνικὰ δίρρυθμα, τὸ δὲ παρατέλευτον ἰαμβικὸν δίμετρον. V

book 585b δαιμονίως, σφοδρῶς. RVΓLh C

book 586 ἀνερπύσαι Γ: ἀπελθεῖν. VΓLh ἰδίως δὲ VΓ τὸ V ἕρπειν τὸ τῇ γαστρὶ εἰλεῖσθαι, ὅθεν καὶ ἑρπετόν. VΓ

book 589 πᾶσιν ὁπόσοι γεωργικὸν R: ἐπειδὴ ἡ εἰρήνη πλέον RΓLh πάντων Γlh τῷ γεωργῷ συμφέρει. RΓLh

book 590 ἐτρίβομεν] κάμνοντες διήγομεν. ΓLh

book 593 πρίν ποτ' ἐπὶ σοῦ: ἐκ τῶν ἀγρῶν γὰρ RΓ οὗτοι R πάντα εἶχον αὐτόματα· ἐν δὲ τῷ πολέμῳ ὠνοῦντο καὶ ἐδαπάνων. RΓ

book 594 τινὲς γράφουσι μετὰ τοῦ ι, ἵνα τὸ νοούμενον ᾖ· δαπανῶντες ἐτρυφῶμεν. βέλτιον δὲ χωρὶς τοῦ ι ἀναγινώσκειν, ἵν' ᾖ λέγων· μηδὲν ἀναλίσκοντες διὰ τὸ ἔχειν πάντα ἐκ τῶν ἀγρῶν, ἢ ὅτι ἐν τῇ εἰρήνῃ πολλὰ πάνυ καὶ τιμῆς ἐλαχίστης εὑρίσκεται. V

book 595a χίδρα: χίδρον RV τὸ ἀπὸ ἐλύμου γινόμενον ὄσπριον, ἔδεσμα περὶ Καρίαν, ἤτοι τὸ ἀπὸ χλωρῶν κριθῶν. οἱ δὲ εἶδος βοτάνης. ἐκ δὲ τούτου δηλοῖ τὴν εὐετηρίαν. RVΓ

book 595b νῦν ἁπλῶς εὐκαρπία. οὕτω καὶ καλοῦσι τὸ ἐκ πυρῶν ἀληλεσμένων βρῶμα καὶ τὰ ἐκ νεαρῶν κριθῶν ἄλευρα. V

book 601 ἦν] ἡ Εἰρήνη. ΓC

book 602 Lh

book 603a ὦ σοφώτατοι: εἴσθεσις διπλῆς ἀμοιβαίας. οἱ δὲ στίχοι εἰσὶ τροχαϊκοὶ τετράμετροι καταληκτικοὶ μη', ὧν τελευταῖος οὐ γὰρ ἡμέτερός τις ἔστ' ἐκεῖνος ἀνήρ, ἀλλὰ σός. ἐπὶ τῷ τέλει διπλῆ ἔξω νενευκυῖα καὶ ἐπὶ ταῖς ἀποθέσεσι παράγραφος. Lh

book 603b ὁ Ἑρμῆς ἐστιν ὁ λέγων πρὸς τὸ ἐρωτηθὲν ὑπὸ τοῦ χοροῦ, δι' ἣν αἰτίαν τοσοῦτον ἀπέστη αὐτοῖς ἡ θεὸς χρόνον. καί φησι πρῶτον VΓLh ἀστὸν V γεγονέναι τὸν Φειδίαν. VΓLh

book 603c τἀμὰ δὴ ξυνίετε RΓLh: πρὸς ταῦτα καὶ Κρατῖνος ἐν Πυτίνῃ πεποίηκεν. RVΓLh ὦ λιπερνῆτες πολῖται, τἀμὰ δὴ ξυνίετε. ἔστι δὲ πρὸς τὰ Ἀρχιλόχου λιπερνῆτες πολῖται, τἀμὰ δὴ ξυνίετε ῥήματα. VΓLh

book 603d ※ Lh

book 605alpha Φειδίας Γ: Φιλόχορος ἐπὶ Πυθοδώρου ἄρχοντος ταῦτά φησι· “καὶ τὸ ἄγαλμα τὸ χρυσοῦν τῆς Ἀθηνᾶς ἐστάθη εἰς τὸν νεὼν τὸν μέγαν ἔχον χρυσίου σταθμὸν ταλάντων μδʹ Περικλέους ἐπιστατοῦντος, Φειδίου δὲ ποιήσαντος. καὶ Φειδίας ὁ ποιήσας δόξας παραλογίζεσθαι τὸν ἐλέφαντα τὸν εἰς τὰς φολίδας ἐκρίθη. καὶ φυγὼν εἰς Ἦλιν ἐργολαβῆσαι τὸ ἄγαλμα τοῦ Διὸς τὸ ἐν Ὀλυμπίᾳ λέγεται, τοῦτο δὲ ἐξεργασάμενος ἀποθανεῖν ὑπὸ Ἠλείων” ἐπὶ Σκυθοδώρου, ὅς ἐστιν ἀπὸ τούτου ἕβδομος, περὶ Μεγαρέων εἰπών· ὅτι “καὶ αὐτοὶ κατεβόων Ἀθηναίων παρὰ Λακεδαιμονίοις ἀδίκως λέγοντες εἴργεσθαι ἀγορᾶς καὶ λιμένων τῶν παρ' Ἀθηναίοις. οἱ γὰρ Ἀθηναῖοι ταῦτα ἐψηφίσαντο Περικλέους εἰπόντος τὴν γῆν αὐτοὺς αἰτιώμενοι τὴν ἱερὰν τοῖς θεοῖς ἀπεργάζε-

book 605alpha σθαι”. RVΓ

book 605beta ὁ Φειδίας, ὡς Φιλόχορός φησιν, ἐπὶ Πυθοδώρου ἄρχοντος τὸ ἄγαλμα τῆς Ἀθηνᾶς κατασκευάσας ὑφείλετο τὸ χρυσίον ἐκ τῶν δρακόντων τῆς χρυσελεφαντίνης Ἀθηνᾶς· ἐφ' ᾧ καταγνωσθεὶς ἐζημιώθη φυγῇ. γενόμενος δὲ εἰς Ἦλιν καὶ ἐργολαβήσας παρὰ τῶν Ἠλείων τὸ ἄγαλμα τοῦ Διὸς τοῦ Ὀλυμπίου καὶ καταγνωσθεὶς ὑπ' αὐτῶν ὡς νοσφισάμενος ἀνῃρέθη. VΓ

book 606a alpha λέγουσί τινες, ὡς Φειδίου τοῦ ἀγαλματοποιοῦ δόξαντος παραλογίζεσθαι τὴν πόλιν καὶ φυγαδευθέντος ὁ Περικλῆς φοβηθεὶς διὰ τὸ ἐπιστατῆσαι τῇ κατασκευῇ τοῦ ἀγάλματος καὶ συνεγνωκέναι τῇ κλοπῇ ἔγραψε τὸ κατὰ Μεγαρέων πινάκιον καὶ τὸν πόλεμον ἐπήνεγκεν, RVΓ ἵνα ἀπησχολημένοις Ἀθηναίοις εἰς τὸν πόλεμον μὴ δῷ τὰς εὐθύνας, ἐγκαλέσας Μεγαρεῦσιν ὡς τὴν ἱερὰν ὀργάδα ταῖν θεαῖν ἐργασαμένοις. ἄλογος δὲ φαίνεται ἡ VΓ κατὰ V Περικλέους ὑπόνοια ἑπτὰ ἔτεσι πρότερον τῆς τοῦ πολέμου ἀρχῆς τῶν περὶ Φειδίαν γενομένων.

book 606a alpha VΓ

book 606a beta εἶτα Περικλέης φοβηθεὶς: εἶτα ὁ Περικλῆς δεδιὼς μὴ τῆς τύχης κοινωνήσῃ αὐτῷ, τουτέστιν εὐλαβούμενος μὴ καὶ αὐτὸς ζημιωθῇ φυγῇ— ἐδόκει γὰρ ὁ Περικλῆς συνεγνωκέναι τῇ κλοπῇ,

ἐπεὶ καὶ ἐργεπιστατεῖν ὑπὸ τῶν Ἀθηναίων κεχειροτόνηται— φοβηθεὶς οὖν αὐτοῦ διελεγχθῆναι τὰς κλοπὰς ἐκίνησε τὸν πελοποννησιακὸν πόλεμον ἐλπίσας ταραχῆς γενομένης καὶ περὶ τὸν πόλεμον ἀπασχοληθέντων Ἀθηναίων εὐθύνας μὴ κατασχεῖν.

book 606a beta VΓ

book 606b τῆς τύχης Γ τοῦ Φειδίου. RΓ

book 607a τὸν αὐτοδὰξ: τὸν δάκνοντα, τὸν ἐμπεσόντα. RΓ

book 607b τὸν Lh αὐθάδη, ὀργίλον. ἐπεὶ οἱ ὀργίλοι δάκνουσι τοὺς ὀδόντας. RVΓLh

book 607c οὐδὲν ἢ δάκνειν βλέποντα. VΓ

book 609 ἐμβαλὼν ΓLh σπινθῆρα RΓLh μικρὸν R: ἐπεὶ ψήφισμα περὶ τῶν Μεγαρέων ὁ Περικλῆς ἔγραψε μήτε γῆς μήτε λιμένων ἀττικῶν αὐτοὺς ἐπιβαίνειν· εἰ δὲ μή, τὸν ληφθέντα ἀγώγιμον εἶναι. ἐφ’ ᾧ κινηθεῖσα πᾶσα ἡ Ἑλλὰς τὸν πόλεμον ἐποίησεν. RVΓLh τινὲς δέ φασιν, ὅτι ἔπλεξεν αὐτοῖς καὶ κατηγόρησεν αὐτῶν ὡς ἁρπασάντων γυναῖκας Ἀθηναίων ἐν ἑορτῇ συμβουλεύσας πολεμεῖσθαι. RVΓ

book 610a ἐξεφύσησεν RΓ τοσοῦτον πόλεμον Γ: ἐξεκίνησεν, ἐτάραξεν. RΓLh

book 610b ἐξεφύσησε γὰρ Lh: ἀπὸ τοῦ σπινθῆρος τὸ φυσῆσαι ἔλαβεν. RΓLh

book 610c ὥστε τῷ καπνῷ R: “καπνῷ” τροπικῶς εἰπὼν ἐπέμεινε δι’ ὅλου τῇ τροπῇ. RΓLh

book 612 ὡς δ’ ἅπαξ ΓLh τὸ πρῶτον Γ: οἰκείως πρὸς τοὺς γεωργοὺς λέγων τοιαύταις τροπαῖς ἐχρήσατο· συμβαίνει γὰρ ἐν τῇ συνθέσει τῶν πίθων ἕνα διαρραγῆναι, καὶ τούτου τὰ ὄστρακα πλησιάζοντα διαρρῆξαι ἕτερον, καὶ τοῦτον πάλιν τὸν ἐγγύς, ὥστε πολλὴν γενέσθαι τὴν βλάβην. τὸ δὲ λεγόμενον τοιοῦτόν ἐστιν· ὡς ἅπαξ ἐκινήθη καὶ συνεταράχθη τὰ πράγματα τοῦ πολέμου γενομένου, οὐκέτι ἦν οὐδὲ εἷς ὃς ἠδύνατο αὐτὰ παῦσαι, καὶ οὕτως ἡ εἰρήνη παραπώλετο. VΓLh

book 613 καὶ Γ πίθος πληγεὶς VΓ: τοῦτο λόγον οὐκ ἔχει, ἀλλ’ ἐξ αὐτοῦ δηλοῖ τοὺς πίθους ὑπὸ τῶν πολεμίων κατάγνυσθαι. VΓLh

book 616a προσήκοι Γ: συγγενὴς εἴη. ΓLh

book 616b προσήκοι V: τὸ “προσήκοι” λέγεται ἐπὶ τῶν συγγενῶν. διὰ τοῦτο ἐπήνεγκεν οὖσα συγγενὴς ἐκείνου. VΓ

book 616c συγγενῆ αὐτόν φησιν, ἐπεὶ ἅμα τῷ φυγεῖν αὐτὸν ἡ εἰρήνη ἀνεχώρησεν. VΓLh

book 616d ἠκηκόειν Γ: οὕτω διὰ τοῦ η Φρύνιχος ἀναγινώσκει. VΓ

book 618a συγγενῆ εἶπε τὸν Φειδίαν τῆς εἰρήνης, καθὸ τεχνίτης ὁ Φειδίας· εὔμορφος δὲ εἰσάγεται ἡ Εἰρήνη οὖσα. ὡς πρὸς τὸν Φειδίαν οὖν “ἡ καλὰ ξόανα ποιοῦσα”. VΓ

book 618b οὖσα συγγενὴς Γ: ἐπεὶ προεῖπεν VΓLh τὸ Lh οὐδ’ ὅπως αὐτῇ προσήκοι VΓLh Φειδίας ἠκηκόειν, πρὸς τὸ “προσήκοι” τὸ συγγενὲς ἐπήγαγε· προσήκοντες γὰρ λέγονται οἱ συγγενεῖς. VΓ

book 618c 〈πολλά γ’ ἡμᾶς λανθάνει: ἀντὶ τοῦ “οὐ πάντα γινώσκομεν τὰ πράγματα”.〉 Su. IV 156, 5

book 619 κᾆτ’ ἐπειδὴ ΓLh ἔγνωσαν Γ: ὅρα τοῦ ποιητοῦ τὴν οἰκονομίαν, καὶ ἐκπλαγήσῃ αὐτόν. πάντα γὰρ τρόπον ἦλθεν ἐν ἀρχῇ τοῦ ποιήματος μὴ προσκροῦσαι τοῖς Ἀθηναίοις φάσκων ἑτέρους εἶναι τοῦ πολέμου αἰτίους, Βοιωτούς τε καὶ Μεγαρεῖς, οἵ, φησί, πρῶτοι τὴν εἰρήνην ἐσκορόδισαν. νῦν δὲ πάλιν τοὺς Ἀθηναίους ἀποφαίνεται αἰτιωτάτους τοῦ πολέμου, δι’ ὧν τὸν Περικλέα φησὶ γράψαι τὸ κατὰ Μεγαρέων πινάκιον, καὶ ἀδικουμένους τοὺς συμμάχους εἰς ἀπόστασιν κεχωρηκέναι. τίς οὖν ἡ τοῦ ποιητοῦ τέχνη; ὅτε μὲν δέος ἦν τῆς εἰρήνης αὐτοὺς ἀποτυχεῖν, ἐπὶ τοὺς ἄλλους ἀνήνεγκε τὴν αἰτίαν· ὅτε δὲ αὐτοῖς λοιπὸν κατὰ γνώμην προκεχώρηκε τὰ πράγματα, φήμη δὲ τὸ τῆς εἰρήνης τυχεῖν, ἤδη καὶ πρὸς αὐτοὺς παρρησιάζεται οὐκ ὀνειδίσαι βουλόμενος αὐτοῖς—ἤδη γὰρ ἔγνωσαν ὄντως εἶναι αἴτιοι—ἀλλ’ ἀποστῆσαι προαιρούμενος

Eulogikon public reading copy · View original HTML at eulogikon.org

αὐτοὺς τῶν τοιούτων ἐθῶν, ὡς ἂν μὴ τοῖς αὐτοῖς ἐμμένοντες δύσνους ἔχωσι τοὺς ὑπηκόους. VΓLh

book 620 σεσηρότας VΓ: ἀπὸ τῶν κυνῶν ἡ μεταφορά. ΓLh ὅταν γὰρ ὀργίζωνται, σεσήρασιν ἀλλήλοις. VΓLh

book 621a τοὺς φόρους: ἐδόκουν γὰρ οἱ Ἀθηναῖοι ἐν τῷ καιρῷ τοῦ πολέμου ἀπηνεῖς εἶναι πρὸς τοὺς φόρους. VΓLh

book 621b τοὺς φόρους] οὓς ἐτέλουν οἱ ὑπηρέται. VΓLh

book 623a αἰσχροκερδεῖς ΓLh: ὅτι αἰσχροκερδεῖς καὶ σμικρολόγοι οἱ Λάκωνες, δῆλον καὶ ἐκ τοῦ χρησμοῦ ἁ φιλοχρηματία VΓLh Σπάρταν ὀλεῖ, ἄλλο δὲ οὐδέν. ΓLh ἦσαν δὲ καὶ περὶ τοὺς ξένους ἀπάνθρωποι, καὶ οὐκ ἐξῆν ξένῳ τινὶ ἀεὶ τῆς Σπάρτης ἐπιβαίνειν, ἀλλ’ ὡρισμέναις ἡμέραις. VΓLh

book 623b διειρωνόξενοι Γ: ἐξαπατῶντες τοὺς ξένους καὶ ψευδόμενοι δι’ εἰρωνείας καὶ ὑποκρίσεως. καὶ οὐδὲν θαυμαστὸν ἐνταῦθα ἐποίουν, παρ’ οἷς καὶ ὁ τῆς ξενηλασίας κεῖται νόμος. VΓ

book 623c διειρωνόξενοι] εἰρωνευόμενοι τοὺς ξένους. Lh

book 627a τὰς κράδας κατήσθιον Γ: καὶ αὐτοὶ ἀντέκοπτον VΓ τὰς συκᾶς, VΓLh ὥσπερ ἐκεῖνοι τὰς ἀμπέλους ἡμῶν. VΓ

book 627b κράδη εἶδος συκῆς. ἔστι δὲ καὶ μηχανή. VΓ

book 627c κατήσθιον: ἀντὶ τοῦ VΓ “κατέκοπτον”. VΓLh

book 627d —̇ Lh

book 628a τὴν ΓLh κορώνεων RΓLh: κορώνεως ὡς φιβάλεως. ἔστι δὲ εἶδος συκῆς. καὶ ἐν Ἀχαρνεῦσιν. ταύτην δὲ καὶ κορακίωνα λέγουσιν· ὁ γὰρ καρπὸς αὐτῆς κόρακι ἔοικε κατὰ τὸ χρῶμα. RVΓLh

book 628b τὴν κορώνεων γέ μου] εἶδος συκῆς μέλανα καρπὸν ποιούσης. Lh

book 629 ἐξεθρεψάμην: ὡς ἐπὶ παιδίου εἶπεν VΓLh ἢ ἀνθρώπου τὸ VΓ “ἐξεθρεψάμην”, VΓLh 〈ἵνα〉 ἱκανὴν διάθεσιν καὶ στοργὴν ἐμποιήσῃ, ἢ ἵνα φαίνηται ἀγανακτῶν ἐν λόγοις. VΓ

book 631a ἑξμέδιμνον RΓ κυψέλην Γ: ἓξ μεδίμνους χωροῦσαν RVΓLh κυψέλην. RVΓ

book 631b ἑξμέδιμνον κυψέλην: κυψέλη ἐστὶν Lh εἶδος δεκτικὸν κριθῶν ἢ πυρῶν. οὕτω δὲ εἴρηται διὰ τὸ κεκρύφθαι αὐτοῦ τὴν ἕλην· ἔστι γὰρ σκοτεινόν. διαφέρει δὲ πρὸς τὴν κυψελίδα, ἥτις ἐστὶν ὁ ἐν τοῖς ὠσὶ ῥύπος. RVΓLh οὐ μόνον δὲ πλεκταὶ ἦσαν αἱ κυψέλαι, ἀλλὰ καὶ κεραμέαι· διὸ λίθῳ φησὶν αὐτὴν κλασθῆναι. VΓLh

book 631c κυψέλην] μόδιον. Lh

book 632 ξυνῆλθεν R οὑργάτης RΓ λεώς Γ: διὰ γὰρ τὰς συνεχεῖς τῶν πολεμίων εἰσβολὰς ἐσκευαγωγήσαντο εἰς τὴν πόλιν οἱ ἀπὸ τῶν ἀγρῶν. RVΓLh

book 633a τὸν τρόπον R πωλούμενος RΓ 〈...〉 οὐκ ἐλάνθανεν ΓLh: ἐὰν μὲν ᾖ “οὐκ ἐλάνθανεν”, σεμνολογεῖ λεληθότως αὐτοὺς ὡς μᾶλλον συνιέναι δυναμένους τὰς κατὰ τῆς πόλεως βλάβας τῶν ἐν τῇ πόλει τραφέντων, καὶ ταῦτα ἀγροίκους ὄντας· ἐὰν δὲ “οὐκ ἐμάνθανεν”, φησὶν ὅτι RVΓLh οὐδὲ R ὁ ἄγροικος λεὼς μετοικισθεὶς εἰς τὰς πόλεις συνῆκε τῆς τῶν προδιδόντων πονηρίας, ἀλλ’ ἠγνόησεν ὑπὸ τῶν πολιτευομένων πωλούμενος, καθάπερ οἱ συνήθως ὑπ’ αὐτῶν πωλούμενοι. RVΓLh

book 633b πωλούμενος] ἀπατώμενος. ΓLh

book 634a ἄνευ γιγάρτων: τῆς σταφυλῆς. ΓLh

book 634b alpha ἄνευ γιγάρτων R: ἐξ ἀμφοτέρων δηλοῦται ἀπεστερημένος τῶν ἀγρῶν καὶ ἐπιθυμῶν αὐτῶν. RV

book 634b beta

Eulogikon public reading copy · View original HTML at eulogikon.org

διὰ τὸ ἀπεστερῆσθαι τῆς συνήθους διαίτης καὶ ἀνακεχωρηκέναι ἐκ τῶν ἀγρῶν καὶ ἐπιθυμεῖν αὐτῶν. ΓLh

book 634c οἱ γὰρ ἀγροῖκοι κόπτοντες τὰ γίγαρτα μετὰ τῶν ἰσχάδων ἐσθίουσιν. RVΓLh

book 636a τοὺς πένητας R ἀσθενοῦντας RΓ: ἀντὶ τοῦ “ἐν ἐνδείᾳ ὄντας”. RΓLh τὴν γὰρ τύχην ἰδίως νόσον RΓ καλοῦσιν. Γ

book 636b κἀποροῦντας ἀλφίτων RΓ: φθίνοντας· ὅτι συνελθόντες εἰς τὸ ἄστυ ἐπένοντο μὴ γεωργοῦντες. RVΓLh

book 637a τήνδε μὲν R δικροῖς RΓ: δικράνοις. RVΓ δίκρανον ἤρυγε φιτρὸς ἐπαιρόμενον. V

book 637b ἔδει εἰπεῖν RVΓLh “ξύλοις RVΓ δικράνοις”· ὁ δὲ εἶπε RVΓLh “δικράνοις ΓLh κεκράγμασιν:”, ἐπειδὴ οἱ ῥήτορες δημηγοροῦντες τῇ κραυγῇ ἔπειθον μὴ ποιῆσαι εἰρήνην. RVΓLh

book 637c ξύλοις ἀπώθουν τὴν Εἰρήνην καὶ ἐξέβαλλον. VΓ κατασκευάζεται δὲ τὰ τοιαῦτα ξύλα, ἃ καλεῖται δίκρανα, VΓLh ἐπὶ τοῦ ἄκρου VΓ δύο χηλὰς ἔχοντα, παρεοικότα, τοῖς ξυλευομένοις. τοιούτοις οὖν, φησί, δικροῖς τὴν Εἰρήνην ὤθουν. VΓLh

book 638 πολλάκις RΓ φανεῖσαν Γ: μετὰ γὰρ τὰ ἐν Πύλῳ ἐπρέσβευσαν περὶ διαλλαγῶν RΓLh οἱ R Λακεδαιμόνιοι· οἱ δὲ Ἀθηναῖοι οὐ προσεῖχον. RΓLh

book 640 τὰ Βρασίδου RΓ: ἀντὶ τοῦ RVΓLh “τὰ Λακεδαιμονίων”. RVΓbis Lhbis ἅμα δέ, ὅτι ἐπὶ αὐτοῦ πολλοὶ τῶν ὑπηκόων προσεχώρουν. RVΓLh

book 642 ἡ πόλις γὰρ ὠχριῶσα: οὐ παρὰ τὸ φοβουμένη τὸ “ὠχριῶσα”, ἀλλ’ VΓ ἴσον τῷ ἀσθενοῦσα, ἀπὸ μεταφορᾶς τῶν νοσούντων. οὕτω γὰρ εἶπε “φοβουμένη”· VΓLh τὸ γὰρ ἑξῆς τοῦτο δηλοῖ. VΓ

book 643 ἅττ’ ἂν διαβάλοι Γ: ἀντὶ τοῦ εἰπεῖν “παραβάλοι”, ὡς ἐπὶ τροφῆς, “διαβάλοι” εἶπε διὰ τοὺς διαβάλλοντας. RVΓLh

book 644 οἱ δὲ τὰς πληγὰς RΓLh: τὸ ἑξῆς· οἱ δὲ ξένοι τὰς πληγὰς ὁρῶντες, ἃς ἐτύπτοντό τινες τῶν δημοτῶν RVΓLh παρὰ τῶν δημαγωγῶν, VΓLh χρυσίον προσέφερον τοῖς ταῦτα ποιοῦσιν. λέγει δὲ τοῖς ῥήτορσιν. RVΓLh

book 645 ἐβύνουν τὸ στόμα: ἀντὶ τοῦ R “ἐπλήρουν, ἔφρασσον”. RΓLh

book 647 ἂν] περισσὸν τὸ “ἄν”. Γ

book 648a ὁ βυρσοπώλης Γ: ἐπεὶ μάλιστα ὁ Κλέων ἐνίστατο τῇ εἰρήνῃ. σεσημείωται δέ, ὅτι νεκροὺς κωμῳδεῖ. διό, ἐπειδὴ ἐμνήσθη αὐτοῦ ὁ Ἑρμῆς, “παῦε παῦε” φησὶν ὁ Τρυγαῖος. VΓ

book 648b παῦε παῦ’, V ὦ δέσποθ’ Ἑρμῆ R: ἀποθανὼν γὰρ ἦν, καὶ οὐκ ἐξῆν τεθνηκότας κωμῳδεῖν. RVΓ

book 648c 〈παῦε παῦ’, Su.bis ὦ δέσποθ’ Ἑρμῆ Su.alt.: νεκρὸν γὰρ ὄντα Subis τὸν Κλέωνα Su.alt. ἐλοιδόρει. ἔθος δὲ ἦν τοῖς ἀρχαίοις τοὺς ἀποιχομένους μὴ λοιδορεῖν.〉 Su.bis

book 650 ἀλλὰ σός V: ὅτι χθόνιος ὁ Ἑρμῆς, RVΓ ὅθεν R καὶ καταιβάτης παρὰ Ῥοδίοις καὶ Ἀθηναίοις. RVΓ

book 651a ἅττ’ ἂν οὖν λέγῃς Γ: διπλῆ καὶ εἴσθεσις εἰς μέλος τροχαϊκόν· οὗ τέσσαρα μέν ἐστι κῶλα δίμετρα ἀκατάληκτα, τελευταῖον δέ ἐστιν ἐν ἐκθέσει στίχος τετράμετρος καταληκτικὸς τροχαϊκός. VΓ

book 651b ἅττ’ ἂν οὖν λέγῃς: ἡ ἔκθεσις τῆς διπλῆς κώλων ἐστὶν ὁμοίων τροχαϊκῶν ϛʹ· ὧν τὰ μὲν εʹ δίμετρα ἀκατάληκτα, τὸ δὲ ϛʹ δίμετρον καταληκτικὸν ἤτοι ἑφθημιμερὲς εὐριπίδειον. ἐν ἐκθέσει δὲ στίχος ἰαμβικὸς τρίμετρος ἀκατάληκτος ὅμοιος τοῖς ἑξῆς. ἐπὶ τῷ τέλει δύο διπλαῖ ἔξω νενευκυῖαι. Lh

book 651c 〈ἅττ’ ἂν οὖν λέγῃς: διπλῆ καὶ ἔκθεσις εἰς μέλος τροχαϊκόν· οὗ πέντε μέν ἐστι κῶλα δίμετρα ἀκατάληκτα, τὸ δὲ ϛʹ ἑφθημιμερές. ἐν ἐκθέσει δὲ ἰαμβεῖον. ὑφ’ ὃ αἱ ἀμφοτέρωθεν ἔξω διπλαῖ.〉 Ald

book 652

κεὶ πανοῦργος ἦν ΓLh: λεληθότως κωμῳδεῖ αὐτὸν ὡς τοιοῦτον πάλιν, καὶ ταῦτα παραινῶν ἐκεῖνον μὴ λοιδορεῖν αὐτόν. VΓLh

book 657a ἀλλ’ ὅτι σιωπᾷς Γ: πρὸς τὴν Εἰρήνην φησί· κωφὸν γὰρ εἰσάγει τὸ πρόσωπον. VΓLh

book 657b 〈 〉 Lh

book 658a ἀλλ’ οὐκ ἂν εἴποι Γ: διπλῆ καὶ εἴσθεσις παρὰ τὸ τετράμετρον εἰς ἰαμβικὰ τρίμετρα οβʹ. μετὰ δὲ τὰ λςʹ ἔστι προαναφώνημα τὸ “ὢ ὤ”. VΓ

book 658b ἀλλ’ οὐκ ἂν εἴποι: κορωνὶς ἑτέρα ἀμοιβαία. οἱ δὲ στίχοι εἰσὶν ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι οαʹ, ὧν τελευταῖος ποθοῦντες ὑμᾶς ἀναμένους’ ἐστυκότες. μετὰ δὲ τὸν λεʹ κῶλον μονόμετρον βραχυκατάληκτον. ἐπὶ ταῖς ἀποθέσεσι παράγραφος, ἐπὶ δὲ τῷ τέλει κορωνὶς ἐξιόντων τῶν ὑποκριτῶν. Lh

book 659 ὀργὴν γὰρ αὐτοῖς Γ: ἀττικῶς ἀντὶ τοῦ “ὀργίζεται”. λείπει δὲ ἡ ὑπέρ, “ὑπὲρ ὧν ἔπαθε”. ΓLh

book 662a ἴθ’] ἀντὶ τοῦ “ἐπὶ τὸν λόγον ἴθι” δηλονότι. ΓLh

book 662b μισοπορπακιστάτη RVΓ: ἀντὶ τοῦ “μισοπόλεμε” παρὰ τὸν πόρπακα. RVΓLh

book 662c πόρπαξ κατά τινας μὲν ὁ ἀναφορεὺς τῆς ἀσπίδος, ὡς δέ τινες, τὸ διῆκον μέσον τῆς ἀσπίδος σιδήριον, ᾧ κρατεῖ τὴν ἀσπίδα ὁ στρατιώτης. RVΓLh

book 663a εἶεν, ἀκούω ΓLh: ὡς τῆς Εἰρήνης καλεσάσης τὸν Ἑρμῆν καὶ λαλησάσης αὐτῷ. VΓLh

book 663b alpha ἐπικαλεῖς: ἀντὶ τοῦ “ἐγκαλεῖς”. ΓLh

book 663b beta ἐπικαλεῖς] ἐπεγκαλεῖς. Lh

book 665a ἐλθοῦσά φησιν RΓ: Φιλόχορός φησιν οὕτως· “Λακεδαιμόνιοι RVΓ δὲ RV περὶ διαλύσεων ἔπεμψαν πρέσβεις πρὸς Ἀθηναίους σπονδὰς ποιησάμενοι πρὸς τοὺς ἐν Πύλῳ καὶ τὰς ναῦς αὐτῶν παραδόντες οὔσας ξʹ. Κλέωνος δὲ ἀντειπόντος ταῖς διαλύσεσι στασιάσαι λέγεται τὴν ἐκκλησίαν. ἐρωτῆσαι δὲ συνέβη τὸν ἐπιστάτην, ἐνίκησαν RVΓ δὲ RV οἱ πολεμεῖν βουλόμενοι”. RVΓ

book 665b μετὰ τἀν Πύλῳ R: ἐπὶ Κλέωνος γὰρ πρεσβευσαμένων Λακεδαιμονίων ἐστασίασαν ἐν τῇ ἐκκλησίᾳ, RVΓ ὡς Φιλόχορός φησιν. RV

book 665c μετὰ τὰ ’ν Πύλῳ ΓLh: μετὰ τὰ ἐν Πύλῳ καὶ τοὺς τʹ αἰχμαλώτους, οὓς ἔλαβε Κλέων, ἔπεμψαν Λακεδαιμόνιοι πρὸς Ἀθηναίους ἐπαγγελλόμενοι δώσειν τὰς VΓLh ἑξήκοντα Lh τριήρεις ἃς εἰλήφεσαν τῶν Ἀθηναίων ἐν τῷ πολέμῳ, ἅμα δὲ καὶ περὶ εἰρήνης καὶ σπονδῶν. ἀντεῖπεν οὖν τότε Κλέων, VΓLh καὶ ἐπὶ τούτῳ στασιάσαι λέγεται τὴν ἐκκλησίαν· Lh καὶ τοῦ ἐπιστάτου τρίτον ἐρωτήσαντος τὴν βουλήν, τί βούλεται, εἰρήνην ἢ πόλεμον, εἵλετο ἡ βουλὴ τὸν πόλεμον συνεστάναι. VΓLh

book 666a κίστην πλέαν VΓ: πλήρη κυτίδα. VΓLh

book 666b τὰς κυτίδας ἐκάλουν κίστας. VΓ

book 666c τὸ “πλέαν” προσέθηκεν, ὅτι ἐξῆν τοῖς Ἀθηναίοις τότε ἐκ περιουσίας τὴν εἰρήνην ποιήσασθαι οὕτω λαμπρῶς VΓLh ἐν Lh τῷ πολέμῳ κεκρατηκόσιν. VΓLh

book 667a ἀποχειροτονηθῆναι RΓ τρὶς Γ: ὡς τρὶς ἀποχειροτονηθείσης. RΓ

book 667b καὶ διὰ τούτων σεμνύνει τοὺς Ἀθηναίους ὡς ἐξουσίαν ἐσχηκότας ποιῆσαι εἰρήνην. RΓLh

book 667c —˙ Lh

book 669a ἐν τοῖς Γ σκύτεσιν VΓ: διὰ τὴν δειλίαν. VΓLh

book 669b ἢ VΓ παροιμία ἐπὶ “σκύτη βλέπει”, ἢ σκύτη ἀντὶ τοῦ “τὰ πολεμικά”, ἢ πρὸς τὸν Κλέωνα, ὅτι σκυτεὺς ἦν. VΓLh

Eulogikon public reading copy · View original HTML at eulogikon.org

book 669c ὁ νοῦς γὰρ ἡμῶν R: ἀντὶ τοῦ “ἐν τῷ φόβῳ τοῦ Κλέωνος RΓLh ὁ νοῦς ἦν ἡμῶν”. Lh

book 669d —˙ Lh

book 670 νυν] δή. Lh

book 673 εὐνούστατος μὲν ἦν Γ: ὅτι ῥίψασπις καὶ δειλὸς ἦν. RVΓLh

book 675a ψυχήν γ’ ἄριστος Γ: τοῦτο μετὰ εἰρωνείας, ὡς δηλοῖ καὶ τὸ ἑξῆς. RVΓLh

book 675b ὅτι κατέλιπε τὸν λόγον μηδὲν αὐτῷ ἐπαγαγών. RVΓ

book 676a οὐκ ἦν ἄρ’ VΓLh οὗπέρ φησιν VΓ: οὔτε RVΓLh γὰρ R γνήσιος ἦν τῷ πατρί, ἀλλὰ καὶ ῥίψασπις ἦν. τὰ δύο οὖν RVΓLh ταῦτα Lh αὐτῷ προστρίβεται. RVΓLh

book 676b εἶναι τοῦ πατρός] ὡς ὑποβολιμαῖος. ΓLh

book 678 ἀποβολιμαῖος VΓLh: ἅμα μὲν καὶ παρὰ τὸ ἀποβαλεῖν τὰ ὅπλα καὶ παρὰ τὸ ὑποβολιμαῖος εἶναι. RVΓLh

book 680a ὅστις κρατεῖ νυν: ὅστις κρατύνει. R

book 680b τοῦ λίθου: ἀντὶ τοῦ “βήματος”. ὅστις νῦν διέπει τὰ τῆς πολιτείας καὶ διαπρέπει. πύκνα δέ RV φησι R τὸ ἐν τῇ Ἀττικῇ δικαστήριον. RV

book 681a Ὑπέρβολος νῦν RΓ τοῦτ’ ἔχει R: ὅτι μετὰ τὸν Κλέωνα Ὑπέρβολος ἐπολιτεύσατο. RΓ

book 681b Ὑπέρβολος VLh: Χρέμητος υἱὸς ἦν VΓLh Ὑπέρβολος, Γ ἀδελφὸς δὲ Χάρωνος, λυχνοπώλης, φαῦλος τοὺς τρόπους. οὗτος μετὰ τὴν τοῦ Κλέωνος δυναστείαν διεδέξατο τὴν δημαγωγίαν. ἀπ’ αὐτοῦ πρώτου ἤρξαντο οἱ Ἀθηναῖοι φαύλοις παραδιδόναι τὴν πόλιν καὶ τὴν δημαγωγίαν πρότερον δημαγωγούντων πάνυ λαμπρῶν πολιτῶν. προείλετο δὲ τοὺς τοιούτους ὁ δῆμος ἀπιστῶν διὰ πόλεμον τὸν πρὸς Λακεδαιμονίους τοῖς ἐνδόξοις τῶν πολιτῶν, μὴ τὴν δημοκρατίαν καταλύσαιεν. ἐξωστρακίσθη δὲ οὗτος οὐ διὰ δυνάμεως φόβον καὶ ἀξιώματος, ἀλλὰ διὰ πονηρίαν καὶ αἰσχύνην τῆς πόλεως. ἐν Σάμῳ δὲ διατρίβων ὑπὸ τῶν Ἀθήνηθεν ἐχθρῶν ἐπιβουλευθεὶς ἀπέθανε, καὶ τὸν νεκρὸν αὐτοῦ εἰς σάκκον βαλόντες ἔρριψαν εἰς τὸ πέλαγος. VΓLh

book 682 τὴν κεφαλὴν R ποῖ περιάγεις RΓ: ἀποστρέφεται ἀκούσασα τοῦ Ὑπερβόλου τὸ ὄνομα ἡ Εἰρήνη ἀχθεσθεῖσα ἐπ’ αὐτῷ, ὅτι καὶ αὐτὸς κακὸς ἦν. RVΓ

book 684 ἐπεγράψατο: ἀντὶ τοῦ Γ “ἐχειροτόνησε, κατέστησεν”. RVΓLh ἡ δὲ μεταφορὰ ἀπὸ τῶν μετοίκων τοὺς προστάτας προγραφόντων ἑαυτοῖς. VΓ

book 685 οὐδὲν ἀντὶ τοῦ “κατ’ οὐδέν”. ΓLh

book 686 καὶ γυμνὸς ὢν Γ: τοῦ προεστῶτος δηλονότι. ΓLh

book 687 περιεζώσατο: 〈ἀντὶ τοῦ “περιεβάλετο”.〉 οἱ γὰρ γυμνοὶ ἐπιθυμοῦσι κἂν περιζώματος τυχεῖν. ὁ δὲ νοῦς· δι’ ἀνάγκην τέως τοῦτον ἐζώσατο μὴ ἔχουσα πολυτελέστερον. Γ

book 688a πῶς οὖν ξυνοίσει Γ: ἐν ἴσῳ εἴρηκε τοῦτο τῷ “πῶς ταῦτα ἡ πόλις οἰκονομήσει καὶ θήσεται;” VΓLh

book 688b τὸ ἑξῆς· πῶς συνοίσει τῇ πόλει ταῦτα, ἐρωτᾷ. Γ

book 691 ἐψηλαφῶμεν Γ: ἀπὸ τοῦ συμβεβηκότος εἴληφε τὸ “ἐψηλαφῶμεν”. οἱ γὰρ ἐν σκότῳ ζητοῦντες τοῦ ζητουμένου τὴν ἀκριβῆ ὄψιν οὐχ ὁρῶντες ψηλαφῶντες ἀνευρίσκουσιν αὐτό. VΓLh

book 692 πρὸς λύχνον RΓLh βουλεύσομεν RΓ: ὅτι λυχνοπώλης RVΓLh λέγεται Lh ὁ Ὑπέρβολος. τινὲς δέ φασιν αὐτὸν Σύρον. καὶ Κρατῖνος δὲ ἐν Πυτίνῃ· Ὑπέρβολον δὲ ἀποσβέσας ἐν τοῖς λύχνοισι γράψον. RVΓLh

book 695

Eulogikon public reading copy · View original HTML at eulogikon.org

πρῶτον δ’ R ὅ τι πράττει RΓ Σοφοκλέης Γ: γελοῖα ταῦτα· ὡς γὰρ περὶ σπουδαίων τὴν ἔμφασιν ποιούμενος ἐπήνεγκεν· ὅτι περὶ Σοφοκλέους ἐπύθετό μου. RΓLh

book 697a ἐκ τοῦ Σοφοκλέους γίνεται Γ: ὅτι ἐπὶ μισθῷ ἔγραψε τὰ μέλη. ΓLh

book 697b ἐκ τοῦ Σοφοκλέους R: ὁ Σιμωνίδης δοκεῖ πρῶτος σμικρολογίαν εἰσενεγκεῖν εἰς τὰ ᾄσματα καὶ γράψαι ᾆσμα μισθοῦ. RVΓLh τοῦτο δὲ καὶ Πίνδαρος ἐν τοῖς Ἰσθμιονίκαις φησὶν αἰνιττόμενος· RVΓ οἱ μὲν πάλαι, ὦ Θρασύβουλε, φῶτες, οἱ χρυσάμπυκες ἐς δίφρον μοι συνανέβαι- [para]νον κλυτᾷ φόρμιγγι συναντόμενοι, ῥίμφα παιδείους ἐτόξευον μελιγαρύας ὕμνους, 〈...〉 ἁ μοῦσα γὰρ φιλοκερδὴς VΓ [para]οὔ ποτ’ ἦν οὐδ’ ἐργάτις· οὐδ’ ἐπέρναντο γλυκεί- [para]αν ποτὶ Τερψιχόρας ἀργυρωθεῖσαι πρόσωπα μαλθακόφωνοι ἀοιδαί. V τὸ μέντοι περὶ RVΓLh τῶν Lh κιβωτῶν ἐπὶ Σιμωνίδου λεγόμενον, ὅτι παρακειμένας εἶχε δύο, τὴν μὲν κενήν, τὴν δὲ μεστήν, καὶ τὴν μὲν κενὴν χαρίτων ἔλεγεν εἶναι, RVΓLh τὴν δὲ ΓLh μεστὴν Lh 〈ἀργυρίου〉, γνώριμον. πλὴν τοῦτο λόγῳ περιφερόμενον εὑρίσκεται· RVΓLh καθ’ ἱστορίαν γὰρ οὐδεὶς εἴρηκεν. VΓLh

book 697c ὁ Σιμωνίδης διεβέβλητο ἐπὶ φιλαργυρίᾳ. RVΓ καὶ τὸν Σοφοκλέα οὖν διὰ φιλαργυρίαν 〈φησὶν〉 ἐοικέναι τῷ Σιμωνίδῃ. RVΓLh λέγεται δὲ καὶ ὅτι ἐκ τῆς στρατηγίας τῆς ἐν Σάμῳ ἠργυρίσατο. RVΓ

book 697d χαριέντως πάνυ τῷ αὐτῷ λόγῳ διέσυρε τοὺς δύο. VΓLh

book 697e τοῦ ἰαμβοποιοῦ VΓLh καὶ 〈...〉 μέμνηται, ὅτι σμικρολόγος VΓ ἦν· V ὅθεν Ξενοφάνης κίμβικα αὐτὸν προσαγορεύει. VΓLh

book 697f καὶ Σοφοκλέα καὶ Σιμωνίδην διέσυρεν ὡς μικρολόγους. V

book 697g μήποτε ἐδόκει VΓLh Σοφοκλῆς Γ περὶ τοὺς μισθοὺς καὶ τὰς νεμήσεις ὀψέ ποτε φιλοτιμότερος γεγονέναι. VΓLh

book 698a γέρων ὢν VΓ καὶ σαπρὸς V: ἀρχαῖος καὶ παλαιός. οἷον γηράσας φιλάργυρος ἐγένετο. VΓLh

book 698b ὅτι γέρων ὢν: μετὰ τὰ ζ’ ἔτη βεβίωκεν. πῶς οὖν γέρων; R

book 699a κἂν ἐπὶ ῥιπὸς πλέοι Γ: ἀντὶ τοῦ “φρυγάνου”. RΓLh

book 699b ῥιπὸς V: παροιμία θεοῦ θέλοντος κἂν ἐπὶ ῥιπὸς πλέοι. ῥὶψ δέ ἐστιν ἱμαντῶδες φυτόν. παρὰ τὸ ῥέπω ῥέψ καὶ ῥίψ. VΓ

book 700 ἀπέθανεν] λείπει τότε. Γ

book 701 ἐνέβαλον: ἀντὶ τοῦ “ἐπῆλθον τῇ πόλει”. ΓLh

book 702a Λυκόφρων τὸ ὡρακιᾶν ἀντὶ τοῦ “ὠχριᾶν”, Ἐρατοσθένης δὲ τὸ ὑπὸ ἐκλύσεως ἐσκοτῶσθαι, VΓ ᾧ ἴσως ἀκολουθεῖ τὸ ὠχριᾶν. V

book 702b μετὰ ἐκλύσεως ἐσκοτωμένος, ᾧ ἴσως ἀκολουθεῖ καὶ τὸ ὠχριᾶν. τοιοῦτοι δὲ οἱ λιποψυχοῦντες· τρέπεται γὰρ αὐτῶν ἡ χροιά. VΓ

book 702c ὡρακιάσας: οἷον RVΓ ὠχριάσας VΓLh ἢ ἐκλυθεὶς ἢ VΓ λιποψυχήσας RVΓ ἢ ἀθυμήσας. VΓ

book 702d ὅτι φίλοινος ὁ Κρατῖνος, καὶ αὐτὸς ἐν τῇ Πυτίνῃ σαφῶς λέγει. VΓ

book 702e alpha εἰς οἰνοφλυγίαν ὁ Κρατῖνος διαβάλλεται. R

book 702e beta ὡς φιλοπότην πάλιν διαβάλλει τὸν Κρατῖνον. VΓ

book 704 χἄτερα πός’ ἄττ’ οἴει RΓ: ὥσπερ ἐκπλαγείσης τῆς Εἰρήνης ἐπήγαγε τὸ “καὶ ἕτερα τοιαῦτα γεγονέναι ἐν τῇ πόλει”. RVΓLh

book 706

ἴθι νυν RΓLh: μίαν τῶν συνανελθουσῶν RVΓLh σὺν R τῇ Εἰρήνῃ πρὸς γάμον αὐτῷ δίδωσιν. προειρήκαμεν δὲ ὅτι συνανειλκύσθησαν αὐτῇ ἥ τε Ὀπώρα καὶ ἡ Θεωρία, ἦσαν δὲ ἑταῖραι. RVΓLh

book 708 ἐκποοῦ σαυτῷ Γ: οὐκ εἶπε τοὺς παῖδας, ἀλλὰ ΓLh τοὺς Lh “βότρυς” διὰ τὴν Ὀπώραν. ΓLh

book 710a ἄρ’ ἂν βλαβῆναι R διὰ χρόνου ΓLh τί σοι δοκῶ Γ: ὅτι οἱ διὰ χρόνου ἐσθίοντες ὀπώραν πολλὴν βλάπτονται καὶ οἱ συνουσιάζοντες συνεχῶς. ἐπεὶ οὖν ἐδόκει Ὀπώρα εἶναι καὶ ἡ πόρνη, πρὸς ἀμφότερα ἔπαιξεν. RVΓLh

book 710b 〈διὰ χρόνου: ἀντὶ τοῦ “μετὰ πολὺν χρόνον”.〉 Su. II 78, 24

book 710c 〈χρόνου] πολλοῦ.〉 Su. II 78, 25

book 711 κατελάσας] ἀντὶ τοῦ R “συνουσιάσας”. RΓLh 〈ἀπὸ τῶν ἀλόγων ζῴων.〉 Su.

book 712a βληχωνίαν RΓ: βλήχωνά RVΓLh φασιν RV Ἀττικοὶ διὰ τοῦ β, οὐ διὰ τοῦ γ. RVΓLh

book 712b οἱ πολλὴν ὀπώραν ἐσθίοντες, ἐὰν κυκεῶνα βληχωνίαν πίνωσιν, οὐ βλάπτονται. βρέχοντες οὖν γλήχωνα ἐπιπίνουσιν. RVΓ

book 712c διὰ τὸ ὑπὸ τοῦ ὀποῦ τὴν καρδίαν κατεσθίεσθαι. ἵνα οὖν ἡ δριμύτης ἀποστυφῇ, γλήχωνος ἐλάμβανον. RVΓ

book 712d οἱ ὀπώραν πολλὴν ἐσθίοντες κυκεῶνα πίνουσιν ὑπὲρ τοῦ πῆξαι τὴν τροφὴν καὶ μὴ ναυτιᾶν· καὶ γὰρ τὸ πολὺ τῆς ὀπώρας προσίσταται τῷ στομάχῳ. VΓ

book 712e τοὺς ὑπὸ τῆς ὀπώρας βαρυνομένους ἰᾶσθαί φασιν, εἰ ἀποβρέξαντες γλήχωνα εἰς ὕδωρ πίοιεν· ἰᾶσθαι γὰρ οὕτω τοὺς τῆς καρδίας πόνους. VΓ

book 712f ὅτι οἱ ... βληχωνίαν ἐπιπίωσιν, οὐ βλάπτονται (cf. 712b). τὸ γὰρ πολὺ ... στομάχῳ (cf. 712d fin.). ἀποβρέξαντες οὖν βλήχωνα εἰς ὕδωρ πίνουσιν (cf. 712b fin. et 712e med.). ἰῶνται γὰρ οὕτω τοὺς τῶν καρδιῶν πόνους (cf. 712e fin.). Lh

book 713 τὴν Θεωρίαν] τοῖς μὲν γεωργοῖς φέρουσα τὴν Ὀπώραν ἔδωκε, τῇ δὲ βουλῇ τὴν Θεωρίαν ἀπένειμεν· ἐδόκει γὰρ ἡ βουλὴ τῆς θεωρίας. Γ

book 714 ἧσπέρ ποτ’ ἦν] ἡ γὰρ βουλὴ τὰς θεωρίας ἐξέπεμπεν. RΓLh

book 715a τινὲς στίζουσιν εἰς τὸ “βουλή” καὶ συνάπτουσι τὸ “σὺ τῆς Θεωρίας ὅσον ζωμὸν ῥοφήσεις ἡμερῶν τριῶν” ὡς ψηφιουμένης τῆς βουλῆς θῦσαι βοῦς ἐπὶ τούτοις. VΓ

book 715b Θεωρίας] λείπει τὸ “ἕνεκεν”. RΓ

book 716 ἡμερῶν τριῶν Γ: ἐπὶ γ′ γὰρ ἡμέρας ἐψηφίσατο ἡ βουλὴ βοῦς θύειν, ἀφ’ ὧν καὶ ζῷα. ΓLh

book 717 χόλικας RΓLh: τὰ τῶν βοῶν παχέα ἔντερα· ταῦτα γὰρ οὐχ ἱεροῦντο, ὡς τὸ ἄλλο σῶμα. τινὲς δὲ χόλικά φασιν εἶδος ἰχθύος. RVΓLh

book 722 ἀστραπηφορεῖ ΓLh: ὁ στίχος ἐκ Βελλεροφόντου Εὐριπίδου. παρὰ τὸ VΓLh ταῖς Lh ἀστραπαῖς ὑπηρετεῖν. VΓLh

book 724 τὴν τοῦ Γανυμήδους RΓ ἀμβροσίαν ΓLh: ἀντὶ τοῦ “τὴν κόπρον”. ὅτι οὗτος μόνος παρ’ αὐτοῖς θνητός. τινὲς δὲ διὰ τὸ ἐν ἀρχῇ ῥηθῆναι αὐτῷ ἑτέραν ἑτέραν 〈...〉 παιδὸς ἡταιρηκότος· ἐδόκει γὰρ καὶ ὁ Γανυμήδης ἐρώμενος εἶναι Διός. RVΓLh

book 726a τηδὶ παρ’ αὐτὴν τὴν θεὸν ΓLh: τινὲς οὐ παρὰ τὴν Εἰρήνην· λέγουσι γὰρ ἐν τῷ οὐρανῷ μεῖναι καὶ ἐκεῖθεν ἐνεργεῖν, ὥσπερ καὶ τὸν Πόλεμον· οὐδαμοῦ γὰρ αὐτῆς μέμνηται ἐν τοῖς ἑξῆς ὡς κατελθούσης. “παρὰ 〈...〉 τὴν θεόν” οὖν τὴν Ἀθηνᾶν· ἄγαλμα γὰρ ἦν ἐν τῷ θεάτρῳ τῆς Ἀθηνᾶς. VΓLh

book 726b ἥκετε, ὦ κόραι. V

book 726c

δεῦρ’ ὦ κόραι Γ: τῇ VΓLh θεᾷ καὶ τῇ V Εἰρήνῃ καὶ τῇ Θεωρίᾳ καὶ τῇ Ὀπώρᾳ λέγει. RVΓLh

book 727a ἕπεσθον ἅμ’ ἐμοὶ Γ: κατέλυσε τοῦ οὐρανοῦ τὴν ὑπόκρισιν· κάτεισι γὰρ ἐπὶ τὴν ὀρχήστραν κλίμαξιν. VΓ

book 727b ἐχόμενος τῆς Εἰρήνης καταβαίνει ὁ πρεσβύτης ἐπὶ τὴν ὀρχήστραν. ἴσως δὲ καὶ ὁ χορὸς ἀνῆλθεν εἰς τὴν ἀναγωγὴν τῆς Εἰρήνης. VΓ

book 728a ἐστυκότες Γ: ἔδει εἰπεῖν “ἑστῶτες”. VΓLh τῷ δὲ “ἐστυκότες” ἐχρήσατο διὰ τὸ τὴν Εἰρήνην ὥσπερ γεγαμηκέναι αὐτάς, τὴν μὲν τῷ Τρυγαίῳ, τὴν δὲ τῇ βουλῇ. VΓ

book 728b πόρναι γάρ εἰσιν ἐσκευασμέναι. Γ

book 728c Lh

book 729a ἀλλ’ ἴθι χαίρων Γ: ὁ χορὸς μένων ποιεῖ παράβασιν οὐ τελείαν, ἀλλὰ κομμάτιον μὲν ε′ στίχων τετραμέτρων καταληκτικῶν, 〈ὧν〉 δ′ μὲν ἐν ἐκθέσει παρὰ πάντας, ὅτι εἰσὶν ἀναπαιστικοί, τελευταῖος 〈δὲ〉 τροχαϊκὸς 〈οὐ〉 κατ’ ἴσον τοῖς ἄλλοις. VΓ

book 729b κομμάτιον χοροῦ. RVΓC

book 729c ἀλλ’ ἴθι χαίρων: ἡ παράβασις αὕτη οὐκ ἔστι τελεία, LhAld ἀλλ’ ἐλλιπής· τὸ μὲν γὰρ κομμάτιον ἔχει καὶ τὸ μακρὸν καλούμενον καὶ τὴν στροφὴν καὶ ἀντιστροφήν, Lh τοῦ δὲ ἐπιρρήματος καὶ ἀντεπιρρήματος ἐστέρηται. ἔστι τοίνυν τὸ μὲν κομμάτιον στίχων ἀναπαιστικῶν τετραμέτρων καταληκτικῶν ε′· τὸ δὲ μακρὸν στίχων ὁμοίων λγ′· ἡ δὲ ἔκθεσις LhAld

book 729c alpha τούτου κώλων ὁμοίων ἀναπαιστικῶν ι′, ὧν τὰ μὲν θ′ δίμετρα ἀκατάληκτα, τὸ δὲ ι′, τὸ ἀνδρὸς τὸ μέτωπον ἔχοντος, δίμετρον καταληκτικὸν ἑφθημιμερὲς παροιμιακόν. ἐπὶ ταῖς ἀποθέσεσι τοῦ τε κομματίου, τοῦ μακροῦ καὶ τῆς ἐκθέσεως τούτου παράγραφος. Lh

book 729c beta 〈κώλων δέκα διμέτρων πλὴν τοῦ τελευταίου καταληκτικῶν. ἐπὶ πᾶσι παράγραφος.〉 Ald

book 729d τὰ σκεύη: τὰς ἅμας, τὰ σχοινία. γυμνὸν γὰρ ποιοῦσι τὸν χορὸν οἱ κωμικοὶ ἀεί, ἵνα ὀρχῆται. V

book 731 κυπτάζειν Γ: κρυφιμαίως διατρίβειν καὶ κρύπτεσθαι. VΓLh

book 734a χρῆν μὲν VΓ τύπτειν Γ: νῦν παραβάσει κέχρηται ὁ χορὸς μηδὲν περὶ τοῦ προκειμένου λέγων ἢ τὸν ποιητὴν ἐπαινῶν. VΓLh

book 734b παράβασιν ἐκάλουν ἀπὸ τοῦ παραβαίνειν τὸν χορὸν ἀπὸ τῆς νενομισμένης στάσεως εἰς τὴν καταντικρὺ τοῦ θεάτρου ὄψιν, ὁπότε ἐβούλετο ὁ ποιητὴς διαλεχθῆναί τι ἔξω τῆς ὑποθέσεως ἄνευ τῶν ὑποκριτῶν πρὸς τὸ θέατρον διὰ τοῦ χοροῦ. ἐστρέφετο δὲ ὁ χορὸς καὶ ἐγίνοντο στοῖχοι δ′. εἶτα διελθόντες τὴν καλουμένην παράβασιν ἐστρέφοντο πάλιν εἰς τὴν προτέραν στάσιν. δῆλον δὲ ποιοῦσιν αὐτοὶ οἱ ποιηταὶ τὸ στρέφεσθαι σημαίνοντες καὶ τὸ παραβαίνειν. VΓLh ὡς Lh Πλάτων ἐν τῷ Παιδαρίῳ εἰ μὲν μὴ λίαν, ὦ ̓́νδρες, ἠναγκαζόμην στρέψαι δεῦρ’, οὐκ ἂν παρέβην εἰς λέξιν τοιάνδ’ ἐπῶν ἄμφω σημάνας, καὶ τὸ στρέφεσθαι καὶ τὸ παραβαίνειν. Κρατῖνος δὲ ἐν τῇ Πυλαίᾳ δηλοῖ, ὅτι ἓξ ἐστι ζυγὰ τοῦ χοροῦ. VΓLh

book 734c ἀναπαιστικ* φὴ. διπλῇ καὶ ἐπέκθεσις εἰς 〈αὐτὴν〉 τὴν παράβασιν. ἀναπαιστικὰ τετράμετρα καταληκτικὰ λα′, ὧν τελευταῖον παῦρ’ ἀνιάσας. V

book 734d παράβασις Lh C στίχων μα′. Lh

book 734e χρῆν μὲν RV τύπτειν R: ἐχρῆν μέν, εἴ τις κωμῳδοποιητὴς ἑαυτὸν ἐπῄνει παραβάσει χρώμενος, τοὺς ῥαβδούχους ἐκείνους τύπτειν αὐτὸν ὡς ἀπρεπές τι μεταχειριζόμενον. εἰ δὲ πρέπον ἐστίν, ὦ Μοῦσα, τινὰ ἑαυτὸν ἐπαινέσαι, φησὶν ὁ διδάσκαλος ἡμῶν, τουτέστιν ὁ Ἀριστοφάνης, ἄξιος εἶναι πολλῆς τιμῆς, ὅστις Ἀριστοφάνης ἄριστος γεγένηται. RVΓLh

book 734f ἦσαν ἐπὶ τῆς θυμέλης ῥαβδοφόροι RVΓLhbis τινές, RVΓLh

book 734f alpha πρὸς εὐταξίαν R

book 734f beta οἵ τῆς εὐκοσμίας ἐμέλοντο VΓLh

book 734f τῶν θεατῶν. ἢ ῥαβδούχους εἶπε τοὺς κριτὰς τοῦ ἀγῶνος, οὓς ὁ ποιητὴς αἰσυμνήτας εἶπεν. RVΓLh

book 735 παραβὰς ἐν τοῖς ἀναπαίστοις ΓLh: πᾶσαν παράβασιν ἀναπαίστους καλεῖ. RVΓLh

book 736 εἰ δ’ οὖν εἰκός τινα: παρὰ τὰ Σιμωνίδου ἐκ τῶν ἐλεγείων εἰ δ’ ἄρα τιμῆσαι, θυγατέραι Διός, ὅστις ἄριστος δῆμος Ἀθηναίων ἐξετέλεσα μόνος. V

book 740a alpha ἐς τὰ ῥάκια: ὡς τοιαῦτα εἰσαγόντων τῶν ἄλλων κωμικῶν. RVΓ

book 740b alpha ῥακοφοροῦντας. VΓ αἰνίττεται δὲ καὶ εἰς Εὔπολιν. RVΓ

book 740ab beta ἐς ... ἀεὶ] τὸν Εὔπολιν αἰνίττεται ὡς εἰσάγοντα ῥακοφοροῦντας. Lh

book 740c καὶ τοῖς φθειρσὶν RΓ: ἀντὶ τοῦ “εὐτελεῖς καὶ ἀδόξους ἄνδρας”. RVΓLh

book 741a alpha μάττοντας] πολλὰ ἐσθίοντας. Lh

book 741a beta τούς θ’ Ἡρακλέας Γ: μάττειν τὸ πολλὰ ἐσθίειν. VΓ

book 714a alpha ἀπὸ τῆς ματτομένης μάζης. VΓLh

book 741b μάττοντας Lh: αἰνίττεται ταῦτα εἰς Εὔπολιν, ὃς ἐποίησε VΓLh τὸν ΓLh Ἡρακλέα πεινῶντα καὶ Διόνυσον δειλὸν καὶ Δία μοιχὸν καὶ δοῦλον κλαίοντα. VΓLh

book 741c τινές φασι VΓLh καὶ Lh εἰς Κρατῖνον αἰνίττεσθαι ὡς τοιαῦτα ποιοῦντα δράματα. VΓLh ἐπεπόλασε δὲ τότε ταῦτα τὰ λήμματα. VΓ καὶ αὐτὸς δὲ ὁ Ἀριστοφάνης ὡς γαστρίμαργον τὸν Ἡρακλέα κωμῳδεῖ καὶ ἐν Ὄρνισι καὶ ἐν Αἰολοσίκωνι. VΓLh

book 741d καὶ ἐν τοῖς Σφηξὶ περὶ τούτων φησί, τοῦ τε Ἡρακλέους καὶ τοῦ δούλου. VΓLh

book 741e ἐπεπόλαζε γὰρ VΓLh ὡς ἔοικε Lh τότε ταῦτα, VΓLh Ἡρακλῆς πεινῶν καὶ Διόνυσος δειλὸς καὶ μοιχὸς Ζεὺς VΓ ὥστε καὶ αὐτοὺς RVΓ δοκεῖν VΓ ἄχθεσθαι. Κρατῖνος ὑπὸ δὲ Ἡρακλέους πεινῶντος ἄγει καὶ σκώπτοντος ταῦτα οὐ βιωτόν ἐστι. RVΓ

book 742 περὶ τῶν δούλων καὶ ἐν Βατράχοις φησίν. RVΓ

book 745 ἵν’ ὁ σύνδουλος σκώψας Γ: ἀντὶ τοῦ “καὶ τούτους τοὺς δούλους ἐξέφερον κλάοντας τούτου ἕνεκεν, ἵνα ὁ σύνδουλος χλευάζων ἀνέρηται αὐτόν”. RVΓLh

book 746a ὑστριχὶς RΓ: ἡ ἐξ ὑείων τριχῶν μάστιξ. RΓLh

book 746b εἰσέβαλέν σοι Γ: ἀπὸ μεταφορᾶς VΓ λέγει Γ τῶν τὰς πόλεις πορθούντων τὸ “εἰσέβαλεν”. VΓ

book 747a καὶ ἔμεινεν ἐν τῇ τροπῇ· κυρίως γὰρ εἰσβαλεῖν ἐστι τὸ πολεμίους τινὰς εἰσελθεῖν εἰς VΓ τὴν Γ πόλιν. VΓ

book 747b διὰ τὸ πλῆθος τῶν πληγῶν. RΓ

book 748 βωμολοχεύματ’: τουτέστι βωμολόχα σκώμματα. ΓLh

book 749a ἐποίησε Γ τέχνην ΓLh μεγάλην Lh: ταῦτα καὶ Φερεκράτης ἐποίησε τὸν Αἰσχύλον λέγοντα ἐν τοῖς Κραπατάλοις ὅστις αὐτοῖς παρέδωκε τέχνην μεγάλην ἐξοικοδομήσας. VΓLh

book 749b κἀπύργωσ’ RΓLh οἰκοδομήσας R: ἀντὶ τοῦ RLh “ὕψωσεν, ΓLh ηὔξησεν καὶ ἐμεγάλυνεν καὶ ἠσφαλίσατο, RVΓ καὶ ἐπὶ τὸ σεμνότερον τὰ ποιήματα ἤγαγεν”. καὶ ἐν ἄλλοις περὶ αὐτοῦ φησιν· ἀλλ’, ὦ πρῶτος τῶν Ἑλλήνων πυργώσας RVΓLh ῥήματα σεμνά. VΓLh

book 750 οὐκ ἀγοραίοις] οὐ κατημαξευμένοις. Γ

book 751 ἰδιώτας ἀνθρωπίσκους κωμῳδῶν] ὅ ἐστι σκώπτων εὐτελεῖς τινας καὶ ἀσθενεῖς ἄνδρας. Γ

book 751-752 ἀντὶ τοῦ R “Ἡρακλέα μιμούμενος οὐκ εὐτελεῖς ἄνδρας κωμῳδεῖν ἐπεχείρει”. RVΓLh

book 752

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀλλ' Ἡρακλέους ὀργήν ΓLh τιν' ἔχων Lh: ἐνδόξως πάλιν παρέλαβεν αὐτὸς τὸν Ἡρακλέα. λέγει γάρ· οὐ κατὰ τοὺς ἄλλους ποιητὰς μετρίους τινὰς καὶ φαύλους λοιδορεῖν καὶ κωμῳδεῖν προειλόμην, VΓLh ἀλλ' ὥσπερ ΓLh ὁ Lh Ἡρακλῆς τοὺς μεγάλους ἄθλους ὑπέστη, οὕτω κἀγὼ τοὺς ἀρίστους καὶ μέγα δυναμένους παρ' ὑμῖν κωμῳδεῖν εἱλόμην. ΓLh

book 753a τοῦ Ἡρακλέους μνημονεύσας ἑξῆς τὸ "βυρσῶν ὀσμὴν" ἐπήγαγεν, ἐπεὶ δοκεῖ ὁ Ἡρακλῆς τὴν Αὐγέου κόπρον ἐκκεκαθαρκέναι. ΓLh

book 753b διαβὰς βυρσῶν RΓ ὀσμὰς Γ: ὡσανεὶ ἔλεγε ποταμοὺς ἢ χαράδρας. RVΓLh

book 753c βυρσῶν ὀσμὰς Lh: διὰ τὸν Κλέωνα ταῦτα· εἰκὸς γὰρ ἦν αὐτὸν ἀπειλεῖν τῷ Ἀριστοφάνει διὰ τὰς ὕβρεις. τὸ βαρβαρῶδες δὲ τοῦ Κλέωνος δηλοῖ διὰ τοῦ "βαρβαροθύμους". Παφλαγὼν γὰρ ἦν. RVΓLh

book 754 μάχομαι] ἀντὶ τοῦ "ἐμαχόμην". ΓLh

book 755a ἀπ' ὀφθαλμῶν Κύννης R: Ἐρατοσθένης ἀγνοήσας τὰ κατὰ τὴν Κύνναν "κυνὸς" γράφει, RVΓ κυνὸς ὡς ἀκτῖνες ἔλαμπον. VΓ Κύννα δὲ καὶ Σαλαβακχὼ πόρναι Ἀθήνησιν. RVΓ

book 755b τὴν ἀναίδειαν αὐτοῦ καὶ τὴν τραχύτητα τῶν τρόπων δείκνυσι διὰ τῶν ὄψεων, ὡς καὶ Ὅμηρος ὄσσε δέ οἱ πυρὶ λαμπετόωντι VΓLh ἐΐκτην. ΓLh τῆς δὲ Κύννης μέμνηται καὶ ἐν τοῖς Ἱππεῦσι λέγων καὶ Κύνναν καὶ Σαλαβακχώ. VΓLh

book 755c Κύννης ἀκτῖνες Lh: Κύννα ἑταίρα ἐστίν. δῆλον δὲ ὅτι καὶ ἀναιδὴς VΓLh καὶ πόρνης ὀφθαλμοὺς εἶχεν. VLh

book 755d Κύννης] πόρνης οὕτω καλουμένης. Lh

book 756a alpha ἑκατὸν RLh δὲ κύκλῳ κεφαλαὶ R κολάκων Lh: εἰκὸς γὰρ σύστημα τὸν Κλέωνα ἔχειν μέγα δυνάμενον τῶν ὑποτρεχόντων αὐτὸν καὶ θεραπευόντων. RVΓLh

book 756a beta ἑκατὸν δὲ κύκλῳ Γ: εἰκὸς γὰρ πλῆθος κολάκων ἔχειν τὸν Κλέωνα. VΓLh

book 756b alpha ὁ δὲ εἶπεν ὡσεὶ ἔλεγε δρακόντων ἑκατὸν κεφαλαῖς αὐτὸν καθωπλίσθαι. RVΓ

book 756b beta ὡσεὶ ἔλεγεν ὄφεων. VΓLh

book 756c καὶ τοῦτο πρὸς ἕνα τῶν Ἡρακλέους αἰνιττόμενος ἄθλων RVΓLh λέγει, Lh τὴν ἑκατοντακέφαλον ὕδραν. RVΓLh

book 756d καὶ γὰρ Τυφῶνα αὐτὸν εἶπεν ἐν τοῖς Ἱππεῦσι· τοσαύταις δὲ ἐκεῖνος κεφαλαῖς ὥπλιστο. VΓLh

book 756e alpha διὰ τοὺς περὶ αὐτὸν κόλακας. VΓ

book 756e beta τοῖς κόλαξι δηλαδή. Lh

book 756f δέον εἰπεῖν "ἐλιχμῶντο" "ἐλιχνῶντο" εἶπε διὰ τὸ λίχνον τῶν κολάκων. RVΓ

book 757a χαράδρα ἐστὶ διῶρυξ πηλοῦ μεστὴ ὄλεθρον, οὐχ ὕδωρ ἔχουσα. RVΓ

book 757b χαράδρας Γ: ἀντὶ τοῦ VΓ "χειμάρρου VΓLh ποταμοῦ". κατάγουσι δὲ οὗτοι παντοῖα μετὰ τοῦ ῥεύματος. οὐκ εἶπε δὲ πηλόν, ἀλλ' ὄλεθρον. VΓ

book 758a φώκης δ' ὀσμήν Γ: θαλάσσιον VΓLh ἐστὶ Lh ζῷον VΓLh ἡ φώκη. Ὅμηρος· φωκάων ἁλιοτρεφέων ὀλοώτατος ὀδμή. VΓ

book 758b Λαμίας ὄρχεις RΓ: δραστικοὶ γὰρ οἱ ὄρχεις. RVΓ

book 758c Λαμίας ὄρχεις Lh: Δίδυμος· εἰδωλοποιεῖ τινας ὄρχεις Λαμίας· θῆλυ γάρ. ἐντεῦθεν καὶ Λάμος ἡ πόλις τῶν Λαιστρυγόνων. RVΓLh

book 758d λέγεται ἡ Λάμια Βήλου καὶ Λιβύης θυγάτηρ. ταύτης ἐρασθῆναι τὸν Δία φασίν, μεταγαγεῖν δὲ αὐτὴν ἀπὸ Λιβύης εἰς Ἰταλίαν, ἀφ' ἧς καὶ πόλις ἐν Ἰταλίᾳ Λάμια προσαγορεύεται. ἔνθεν αὐτῇ συνελθὼν ὁ Ζεὺς οὐκ ἔλαθε τὴν Ἥραν· ἥτις ζηλοτυποῦσα τὴν Λάμιαν τὰ γινόμενα αὐτῆς τέκνα

ἀνῄρει VΓLh ἀεί. ἡ δὲ ἀποθνησκόντων αὐτῆς τῶν παιδίων βαρυθυμοῦσα τὰ τῶν ἄλλων παιδία VLh διὰ φθόνον V ὑποκλέπτουσα ἀνῄρει. VLh διὰ τοῦτο καὶ τὰς τίτθας ἐκφοβούσας τὰ βρέφη VΓLh φασὶ Lh καλεῖν ἐπ' αὐτοῖς τὴν Λάμιαν. μυθεύεται δὲ ὡς ἄϋπνος αὕτη διατελεῖ βουλήσει Ἥρας, ἵνα καὶ ἡμέρας καὶ νύκτας ἐν τῷ πένθει ᾖ, ἕως οὗ αὐτὴν ἐλεήσας ὁ Ζεὺς ἀφαιρέτους αὐτῆς τοὺς ὀφθαλμοὺς ἐποίησεν, ὅπως ἂν ἐν αὐτῇ ᾖ ἐξαιρεῖσθαι VΓLh ἑαυτῆς V τοὺς ὀφθαλμοὺς καὶ πάλιν θεῖναι. λέγεται δὲ ἐσχηκέναι παρὰ Διὸς καὶ τὸ μεταμορφοῦσθαι εἰς ὅ τι οὖν βούλεται. VΓLh οὕτως εὗρον ἐν ὑπομνήματι. V

book 758e ἀλλόκοτόν τι τέρας ὑποστήσασθαι βούλεται τὸν Κλέωνα· τὴν γὰρ Λάμιάν φασιν ἄγριον εἶναι ζῷον καὶ δύσοσμον VΓLh καὶ ἀνήμερον. VΓ οὐκ ἀρκεσθεὶς δὲ τούτοις αὐτὸν εἰκάσαι μόνοις προσέθηκε καὶ ἄπλυτον, ἵνα μᾶλλον αὐξήσῃ τὴν περὶ τὸν Κλέωνα δυσοσμίαν. VΓLh

book 758f πρωκτὸν δὲ καμίνου Γ: ὡς θερμόπρωκτον αὐτὸν κωμῳδεῖ. VΓLh

book 759a τοιοῦτ' ἰδὼν] γρ. τοιοῦτον δ' ἰδών. Γ

book 759b τοιοῦτον ἰδὼν τέρας RΓ: εἰρηκὼς τῶν σκωμμάτων αὐτοῦ τὸ RVΓ κατ' εἶδος ἔσκωψεν αὐτὸν πάλιν ἐπὶ τὸ γενικὸν ἀναδραμών, δι' οὗ τέρας αὐτὸν καλεῖ μείζονα δόξαν τῶν προειρημένων ἐγκαταλιπὼν ἔχειν τοῖς ἀκηκοόσι περὶ αὐτοῦ. RVΓLh

book 763a παῖδας ἐπείρων Γ: ὡς τῶν ἄλλων ἐξιόντων καὶ δεομένων τῶν νέων καὶ τῶν παίδων εἰς τὸ σπουδάζειν αὐτοῖς, ἵνα νικήσωσιν. VΓ

book 763b εἰώθασι γὰρ παιδεραστεῖν RVΓLh οἱ ἄλλοι Lh ἁβρυνόμενοι τῇ νίκῃ. RVΓLh

book 763c αἰνίττεται εἰς Εὔπολιν RVΓ καὶ τοὺς περὶ αὐτὸν ὡς παίδων ἐρῶντας καὶ παλαίστρας περιερχομένους. VΓ

book 764a ὡς τῶν νικώντων ταῦτα ποιούντων καὶ εἰς ὕβριν ἐξελκομένων. VLh

book 764b ἤγουν Lh ὀλίγα κωμῳδήσας ἢ οὐδὲν λυπήσας. VLh ὁμοίως τῷ ἢ ὀλίγον οἱ παῖδα. V

book 765a διπλῆ καὶ εἴσθεσις εἰς τὸ καλούμενον μακρόν, ὅπερ ἐστὶ περίοδος ἀναπαιστικὴ εἰκοσάμετρος δεκάκωλος, ἧς τὸ τελευταῖον ἀνδρὸς τὸ μέτωπον ἔχοντος. Γ

book 765b πνῖγος RΓ τὸ καὶ μακρόν. Γ

book 765c πρὸς ταῦτα χρεὼν Γ: διὰ ταῦτα ΓLh τὰ δίκαια Lh ὑμᾶς ἀξιῶ συλλαμβάνεσθαι. ΓLh ἢ δι' αὐτὰ τὰ δίκαια. Γ

book 767 καὶ τοῖς φαλακροῖσι] τοῦτο εἰς ἑαυτόν· φαλακρὸς γὰρ ἦν. RΓLh

book 771a φέρε τῷ φαλακρῷ] πάλιν ἑαυτὸν λέγει. Lh

book 771b δὸς τῷ φαλακρῷ] ὅτι φαλακρὸς Ἀριστοφάνης. Γ

book 772a τῶν τρωγαλίων] ἀντὶ τοῦ RΓ "τῶν τραγημάτων". RΓLh οὕτω γὰρ RΓ ἐκάλουν R τὰ τραγήματα οἱ παλαιοί. RΓ

book 772b τὸ σχῆμα ἀττικόν, τὸ γενικὴν εἰπεῖν ἀντὶ αἰτιατικῆς, ὡς καὶ νῦν εἶπε "τῶν τρωγαλίων" ἀντὶ τοῦ "τὰ τρωγάλια". RVΓ

book 772c καὶ μὴ ἀφαίρει RΓ γενναιοτάτου Γ: μηδὲν ἀφαίρει τῶν παρακειμένων, RVΓ ἀλλὰ πάντα παράθες. RVΓLh

book 773alpha γενναιοτάτου τῶν ποιητῶν] λείπει ἡ ἕξ. R

book 773beta γενναιοτάτου τῶν ποιητῶν] ἐκ τοῦ ΓLh γενναιοτάτου τῶν ποιητῶν. Γ

book 774a λείπει λαμπρόν. RV

book 774b διὰ τὴν φαλακρότητα. ἢ εὐπαρρησίαστον. V

book 775a χ. VLh

book 775b Μοῦσα σὺ μὲν πολέμους Γ: τὸ χ πρὸς τὴν ἀλλαγὴν τοῦ μέτρου. VΓ

book 775c ᾠδὴ ἡ καὶ στροφὴ RVΓCLh κώλων κβʹ. Lh

book 775d διπλῆ καὶ μεταβολὴ εἰς μονοστροφικὴν δυάδα ἐννεακαίδεκα κώλων ἔχουσα τὰς περιόδους· VΓ ὧν τὸ αʹ δακτυλικὸν πενθημιμερές· τὸ βʹ περίοδος προσοδιακὴ 〈ἐν〉 δεκάσημος ἢ δωδεκάσημος· τὸ γʹ ἰθυφαλλικὸν καὶ τὸ δʹ ὅμοιον· τὸ εʹ 〈δι〉 πενθημιμερές, ὃ καλοῦσιν ἰαμβέλεγον· τὸ ϛʹ ἰαμβικὸν δίμετρον ἀκατάληκτον· τὸ ζʹ δακτυλικὸν τρίπουν εἰς δισυλλαβίαν· τὸ ηʹ δακτυλικὸν ὅμοιον· τινὲς δὲ συνάπτουσι τὸ ηʹ καὶ τὸ θʹ καὶ γίνεται ἐγκωμιολογικὸν εἰς διπενθημιμερές, ὃ καὶ ἄμεινον· τὰ ἑξῆς περι ιαʹ ιβʹ, ὡς μὲν κεκώλισται, ἐστὶ χορίαμβος ἑφθημιμερής, συνῆπται δέ· δύναται δὲ τὸ αʹ αὐτῶν μετατεθῆναι ἐκ τὴν ἑξῆς συλλαβήν, τὰ δὲ λοιπὰ ἑνωθῆναι· τὸ ιγʹ δακτυλικὸν πενθημιμερές· τὸ ιδʹ ἀναπαιστικὸν τρίπουν· τὸ ιεʹ δακτυλικὸν τετράπουν εἰς τρισυλλαβίαν· τὸ ιϛʹ 〈δακτυλικὸν〉 διπλοῦν εἰς δισυλλαβίαν· τὸ ιζʹ δακτυλικὸν τετράπουν· τὸ ιηʹ δακτυλικὸν πενθημιμερές· τὸ ιθʹ εἰς ἰαμβικὸν δίμετρον καταληκτικόν. V

book 775e Μοῦσα σὺ μὲν: ἡ ᾠδὴ αὕτη καὶ στροφὴ κώλων ἐστὶ κβʹ, καὶ ἡ ἀντῳδὴ καὶ ἀντιστροφὴ τοσούτων· οὐ γὰρ διῄρηνται, ἀλλ’ ἐχόμεναί εἰσιν ἀλλήλων, ἐπεὶ οὐ κεῖται μεταξὺ τὸ ἐπίρρημα. LhAld

book 775e alpha ἔστι γοῦν τὸ αʹ χοριαμβικὸν δίμετρον καταληκτικὸν καθαρόν· τὸ βʹ προσοδιακὸν δίμετρον ἀκατάληκτον ἐξ ἰωνικοῦ καὶ χοριάμβου, ἔχει δὲ ἀντὶ ἰωνικοῦ παίωνα βʹ· τὸ γʹ τροχαϊκὸν ἰθυφαλλικὸν ἀρχιλόχειον· τὸ δʹ ὅμοιον τῷ βʹ· τὸ εʹ ἰαμβικὸν πενθημιμερές· τὸ ϛʹ ὅμοιον τῷ αʹ, τὸ αὐτὸ δὲ δύναται εἶναι καὶ δακτυλικὸν πενθημιμερές· τὸ ζʹ ἰαμβικὸν δίμετρον ἀκατάληκτον· τὸ ηʹ προσοδιακὸν ὅμοιον τῷ δʹ ἐκ χοριάμβου καὶ ἰωνικοῦ, τοῦτο δὲ δύναται εἶναι καὶ δακτυλικὸν τρίμετρον· τὸ θʹ ὅμοιον κατὰ πάντα· τὸ ιʹ τροχαϊκὴ βάσις· τὸ ιαʹ ὅμοιον τῷ αʹ, τὸ αὐτὸ δὲ καὶ δακτυλικόν ἐστι τρίμετρον· τὸ ιβʹ ὅμοιον τῷ α· τὸ ιγʹ καὶ ιδʹ ὅμοια· τὸ ιεʹ ἀναπαιστικὸν δίμετρον βραχυκατάληκτον· τὸ ιϛʹ ὅμοιον τῷ αʹ· τὸ ιζʹ ἰαμβικὴ ἢ ἀναπαιστικὴ βάσις· τὸ ιηʹ δακτυλικὸν δίμετρον· τὸ ιθʹ ὅμοιον τῷ

book 775e alpha αʹ· τὸ κʹ ὅμοιον τῷ ιζʹ· τὸ καʹ ὅμοιον τῷ αʹ· τὸ κβʹ ἰαμβικὸν δίμετρον καταληκτικὸν ἤτοι ἑφθημιμερὲς ἀνακρεόντειον. Lh

book 775e beta 〈τὰ μὲν οὖν αʹ ϛʹ ιδʹ ιϛʹ ιθʹ καʹ δακτυλικὰ πενθημιμερῆ. τὰ δὲ βʹ δʹ προσοδιακὰ δίμετρα ἀκατάληκτα ἐκ παίωνος βʹ καὶ χοριάμβου· τὸ δὲ γʹ τροχαϊκὸν ἰθυφαλλικόν· τὸ εʹ ἰαμβικὸν πενθημιμερές· τὸ δὲ ζʹ ἀκατάληκτον δίμετρον· τὰ ηʹ θʹ ιαʹ δακτυλικὰ τρίμετρα· τὸ ιʹ τροχαϊκὴ βάσις· τὰ ιβʹ ιγʹ χοριαμβικὰ εἰς βακχεῖον περαιούμενα δίμετρα· τὸ ιεʹ ἀναπαιστικὸν δίμετρον βραχυκατάληκτον· τὰ ιζʹ κʹ ἀναπαιστικαὶ βάσεις· τὸ ιηʹ δακτυλικὸν δίμετρον· τὸ τελευταῖον ἰαμβικὸν ἑφθημιμερές.〉 Ald

book 775e ἐπὶ τῷ τέλει τῆς μὲν στροφῆς παράγραφος, τῆς δὲ ἀντιστροφῆς κορωνίς. LhAld

book 775f αὕτη πλοκή ἐστι καὶ ἔλαθεν. σφόδρα δὲ γλαφυρὸν εἴρηται· καὶ ἔστι στησιχόρειος. VΓ

book 776 ※ Lh

book 778 κλείουσα θεῶν RΓ τε γάμους Γ: ὅτι σύνηθες ἦν τοῖς παλαιοῖς ᾄδειν θεῶν τε καὶ ἡρώων γάμους. RVΓLh σημειοῦται δὲ ταῦτα ὁ Μόχθος πρὸς τοὺς ἀθετοῦντας τὴν ἐν Ὀδυσσείᾳ Ἄρεως καὶ Ἀφροδίτης μοιχείαν. RVΓ

book 782a ἦν δέ σε Καρκίνος Γ: Καρκίνος τραγῳδίας ποιητής, RVΓ ὃς εἶχε ταπεινούς τινας παῖδας. VΓ

book 782b ἐν τῷ ἀντιγράφῳ παροξύτονον εὗρον τὸ Καρκίνος. ἴσως οὖν συνέστειλεν αὐτό, ὡς καὶ Ἄρατος. RVΓ

book 783

ἀντιβολῇ μετὰ τῶν παίδων R: παῖδες Καρκίνου τρεῖς, Ξενοκλῆς, Ξενότιμος, Ξέναρχος. τραγικοὶ δὲ οὗτοι χορευταί· οἵτινες διὰ τὴν σμικρότητα τῶν σωμάτων ὄρτυγες ἐκαλοῦντο. RVΓ

book 788a ὄρτυγας οἰκογενεῖς Γ: δέον ὄρνιθας οἰκογενεῖς εἰπεῖν "ὄρτυγας" εἶπε, πρᾶγμα τῆς φύσεως ἀλλότριον. πλὴν εἰ μὴ ὡς μαχίμους διαβάλλει τοὺς παῖδας τοῦ Καρκίνου· φιλεριστικὴ γὰρ τῶν ἀρρένων ὀρτύγων ἡ φύσις. VΓ

book 788b οἰκογενεῖς: ἀντὶ τοῦ Γ "ἡμέρους, ἐν οἴκῳ τεθραμμένους". VΓLh

book 788c ἀεὶ μέντοι τὸ "ὄρτυγας" ἐκτείνεται, νῦν δὲ διὰ τὸ μέτρον συνέσταλται. Γ

book 789a γυλιαύχενας Γ: αὐχένας οὐκ ἔχοντας, καθάπερ ὁ γύλιος. VΓ

book 789b γυλιαύχενας R: μακροτραχήλους· γύλιος γὰρ πλέγμα ἐστὶ στρατιωτικὸν ἐπίμηκες, τουτέστιν εἰς ὀξὺ λῆγον. κολοβὸν οὖν εἰκὸς εἶναι τὸ ὅλον σῶμα, καὶ μόνον τὸν τράχηλον μακρόν. RVΓ

book 789c γύλιος πλεκτόν τι σκεῦος στρατιωτικὸν στενόστομον, ἐν ᾧ τὰ σιτία ἐμβάλλουσιν. διαβάλλει δὲ αὐτοὺς ὡς λεπροὺς καὶ λεπτοὺς καὶ μακροὺς τραχήλους ἔχοντας. ἐν τοῖς ἐπιφερομένοις VΓ δὲ V ἐξηγήσεται, ὅ τι ἐστὶ τὸ "γυλιαύχενας". VΓ

book 789d ὀρχηστὰς: εἰσέφερε γὰρ αὐτοὺς VΓ ὁ πατὴρ Γ ἐν τοῖς δράμασιν ὀρχομένους. VΓ

book 789e ἐχόρευον οὗτοι τῷ πατρί. VΓ

book 790a ναννοφυεῖς: νάννοι RVΓLh γὰρ ΓLh λέγονται οἱ κολοβοὶ τῶν ἀνθρώπων· οἱ δὲ κολοβοὶ τῶν ἵππων ἴννοι λέγονται. RVΓLh

book 790b ὡς μικροὺς καὶ γογγυλώδεις σκώπτει. VΓ

book 790c προείρηται περὶ τῶν Καρκίνου υἱῶν, ὅτι μικροί. Γ

book 790-791a σφυράδων ἀποκνίσματα: ἀντὶ τοῦ "ταπεινοὺς καὶ μικρούς"· οὐδὲ ὅλας σφυράδας. σφυράδες δέ εἰσι τὰ τῶν αἰγῶν καὶ προβάτων ἀποπατήματα. RVΓ Εὔπολις Αἰξί· σφυράδων πολλῶν ἀναμέστη. VΓ

book 790-791b ἡ σφυρὰς κυάμου ἔχει τὸ μέγεθος. VΓLh

book 790-791b alpha ταύταις οὖν ἀπεικάζει αὐτούς· μᾶλλον δὲ οὐδὲ ταύταις, ἀλλὰ τοῖς ἀποκνίσμασιν αὐτῶν καὶ ἀποτμήμασιν. εὐτελίζει οὖν αὐτοὺς διὰ τὸ βραχύ· ἡ γὰρ τοῦ μικροῦ μερὶς μικρὰ οὐδὲν ἂν εἴη. VΓ

book 790-791b beta εὐτελίζων οὖν αὐτοὺς διὰ τὸ βραχὺ τοῖς τούτων ἀπεικάζει αὐτοὺς ἀποτμήμασιν. τοῦ δὲ μικροῦ ἡ μερὶς οὐδὲν ἂν εἴη. Lh

book 792a μηχανοδίφας V: ἀπὸ μέρους τοῦτο· Ξενοκλῆς γὰρ ὁ Καρκίνου δοκεῖ μηχανὰς καὶ τερατείας εἰσάγειν ἐν τοῖς δράμασιν. Πλάτων Σοφισταῖς· Ξενοκλῆς ὁ δωδεκαμήχανος ὁ Καρκίνου παῖς τοῦ θαλαττίου. RV

book 792b "μηχανοδίφας" εἶπεν αὐτούς, ἐπειδὴ πολλάκις ὡς τραγῳδοὶ μηχανὰς εἰσέφερον, ἡνίκα θεοὺς ἐμιμοῦντο ἀνερχομένους ἢ κατερχομένους ἐκ τοῦ οὐρανοῦ ἢ ἄλλο τι τοιοῦτον. V

book 793 καὶ γὰρ ἔφασχ' ὁ πατὴρ R: καὶ γὰρ εἶπεν ὁ πατὴρ γαλῆν τινα τῆς ἑσπέρας ἀπάγξαι τὸ δρᾶμα αὐτοῦ, ὅπερ εἶχε παρὰ προσδοκίαν, τουτέστιν ὃ μετὰ μόχθου συνεγράψατο. διαβάλλει δὲ αὐτὸν ὡς νόθον περὶ τὰ κλέμματα. RVΓ

book 794 ὃ παρ' ἐλπίδας VΓ: τοῦτο πρὸς τὸ ἄνω μήτ' ἔλθῃς αὐτοῖς συνέριθος. VΓLh

book 795 δρᾶμα ἐποίησε RVΓ τοὺς Μύας· RVΓLh διὰ τοῦτο καὶ γαλῆν εἶπεν ἀπάγξαι. RVΓ

book 795-796 γαλῆν τῆς ἑσπέρας: ἀντὶ τοῦ Γ "ὑπὸ τῆς γαλῆς τὸ δρᾶμα ἀπαγχθῆναι". δρᾶμα γὰρ ποιήσας ὁ Καρκίνος ἢ ὁ Ξενοκλῆς παρῆλθε μέγα καυχώμενος ἐπ' αὐτῷ, καὶ παρελθὼν ἡττήθη. ὡς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἡττηθέντος οὖν εἶπεν· ἐν ᾧ μεγάλας ἐλπίδας εἶχεν. 〈...〉 δρᾶμα. ἐπεὶ δὲ αἱ γαλαῖ τοὺς μῦς νυκτὸς πνίγουσι, παρὰ τοῦτο παίζει. VΓ

book 796 —˙ Lh

book 797a τοιάδε χρὴ Χαρίτων: τῇ στροφῇ ἀποδέδωκε τὴν ἀντίστροφον· πάλιν γὰρ ἐπὶ τὸν οἰκεῖον ἐπανέδραμεν ἔπαινον φάσκων ὅτι διὰ ταῦτα πάντα χρὴ τοὺς θεατὰς μετὰ πάσης εὐνοίας ἀποδέχεσθαι τὰ ὑπ' αὐτοῦ ποιήματα. VΓLh ἴδωμεν οὖν τὴν στροφήν, τί ἐστι καὶ πῶς τὴν ἀντίστροφον ἐπήγαγεν. κἀν ταῖς Νεφέλαις δὲ εἶπον ὅτι δεῖ πάντως ἀνταποδίδοσθαι τῇ στροφῇ τὴν ἀντίστροφον, εἶτα ἀμφοτέραις ἐπαγαγεῖν τὴν ἐπῳδόν· ἐκ τούτων γὰρ τὰ χορικὰ συνεστάναι, στροφῆς, ἀντιστρόφου, ἐπῳδοῦ. VΓ ἀντίστροφος δὲ εἴρηται παρὰ τὸ ἀναστρέφειν ἐπὶ τὸν ἐξ ἀρχῆς νοῦν τοῦ λόγου μεταξὺ λεγομένων τῶν περιττῶν καὶ ὥσπερ ἐντεθειμένων καὶ δυναμένων ὑπεξαιρεῖσθαι, VΓLh καὶ VΓ οὐδὲν ἧττον τῆς ἀκολουθίας σωζομένης. ἔχει δὲ

book 797a οὕτως· VΓLh εἰπὼν γὰρ ἄνω Lh ἀνδρῶν τε δαῖτας καὶ θαλίας μακάρων· σοὶ γὰρ τάδ' ἐξ ἀρχῆς μέλει εἶτα VΓLh ἐπήγαγε Lh τοιάδε χρὴ Χαρίτων. διὰ μέσου δὲ τὰ περὶ τῶν Καρκίνου παίδων VΓLh εἴρηκεν Lh

book 797b ἀντῳδὴ ἡ καὶ ἀντιστροφὴ VΓLh C κώλων κβʹ. Lh

book 797c ἔστι παρὰ τὰ Στησιχόρου ἐκ τῆς Ὀρεστείας τοιάδε χρὴ Χαρίτων δαμώματα καλλικόμων ὑμνεῖν φρύγιον μέλος ἐξευρόντας ἁβρῶς ἦρος ἐπερχομένου. VΓLh

book 798 δαμώματα VΓ: τὰ δημοσίᾳ ᾀδόμενα. RVΓLh

book 800 καὶ αὕτη πλοκὴ στησιχόρειος. φησὶ γὰρ οὕτως· ὅταν ἦρος ὥρᾳ κελαδῇ χελιδών. V

book 803 Μόρσιμος RVΓ μηδὲ Μελάνθιος RΓ: τραγικοὶ ποιηταὶ ἀμφότεροι. ὁ δὲ Μόρσιμος Φιλοκλέους τοῦ τραγικοῦ υἱὸς πονηρὸς καὶ ἄμετρος. ὁ δὲ Μελάνθιος κωμῳδεῖται εἰς μαλακίαν καὶ ὀψοφαγίαν. καὶ πολὺ μᾶλλον ἐν τοῖς Κόλαξιν Εὔπολις ὡς κίναιδον αὐτὸν διαβάλλει καὶ κόλακα. ἀλλὰ καὶ ὡς RVΓ λευκὰς ἔχοντα καὶ VΓ λεπρὸν Ἀριστοφάνης ἐν Ὄρνισιν ὃς οὐκ ἰδὼν βδελύττομαι τὸν Λέπρεον ἀπὸ Μελανθίου. RVΓ

book 808a ἀδελφός τε καὶ αὐτός Γ: ὡς καὶ τοῦ ἀδελφοῦ τοῦ Μελανθίου τραγικοῦ ὄντος ἀσήμου. VΓ

book 808b δέχονταί τινες ὡς καὶ τοῦ ἀδελφοῦ τοῦ Μελανθίου τραγικοῦ ποιητοῦ ὄντος, ἀσήμου δέ. οὐκ ἀνάγκη δὲ διαιρεῖν καὶ ποιεῖν πρὸς τὸ “τὸν χορὸν εἶχεν” τὸ “ἀδελφός τε καὶ αὐτός”, ἀλλὰ τὰ μὲν πρῶτα ἰδίᾳ περὶ τοῦ Μελανθίου μέχρι τοῦ “χορὸν εἶχεν”, ἀπ' ἄλλης δὲ ἀρχῆς περί τε αὐτοῦ καὶ τοῦ ἀδελφοῦ τὰ εἰς ὀψοφαγίαν. ὅτι γὰρ ὁ Μελάνθιος ὀψοφάγος, προείρηται. καὶ παρ' Εὐπόλιδι ἐν Ἀστρατεύτοις. VΓ

book 809 ἄμφω Γ: στικτέον εἰς τὸ “ἄμφω”. ὅτι μὲν γὰρ τραγικοὶ ἀμφότεροι, Μελάνθιος καὶ ὁ τούτου ἀδελφός, δῆλον· τὸ δὲ “Γοργόνες” καὶ “ὀψοφάγοι” ἐπὶ Μελανθίου μόνου· τοιοῦτος γὰρ οὗτος διαβάλλεται. τινὲς δὲ εἰς τὸ “εἶχον” στίζουσιν, ἵνα Μελάνθιος μὲν ἔχῃ τὸν χορόν, ἀμφότεροι δὲ ὦσιν ὀψοφάγοι. VΓ

book 810 φοβεροὶ εἰς γαστριμαργίαν. RVΓLh

book 811a βατιδοσκόποι RVΓ: βάτις εἶδος ἰχθύος. ἢ καθόλου οἱ ἰχθύες. RVΓLh

book 811b ἅρπυιαι: ἅρπαγες τῶν ἰχθύων· ἅρπυια γὰρ ἁρπακτικὸν ζῷον. RVΓLh

book 812a γραοσόβαι RΓ: ἀπὸ τῶν ἰχθύων ἀποσοβοῦντες τὰς γραΐδας, ὡς μὴ ἀγοράζειν. ἢ γραΐσι συγκοιμώμενοι· σοβάδας γὰρ τὰς πόρνας λέγουσιν. Εὔπολις παρὰ τῇδε σὺ τῇ σοβάδι κατηγάγου. RVΓ

book 812b ὡς γραοφίλους αὐτοὺς εἰσάγει καὶ περὶ γραῶν ἔρωτας ἐπτοημένους. ἀντὶ τοῦ “γραῦς ὀχεύοντες”. VΓ

book 813 τραγομάσχαλοι Γ: ἀντὶ τοῦ R “δύσοσμοι”· οἱ γὰρ ἄρρενες τῶν αἰγῶν τοιοῦτοι. RVΓLh

book 814 ἰχθυολῦμαι RΓ: οἱ RVΓLh γὰρ ΓLh Ἀθηναῖοι τοὺς ἰχθῦς εἶχον ὡς μέγα ἔδεσμα. RVΓLh

book 815 καταχρεμψαμένη Γ: μέγα VΓLh καταπτύσασα RVΓLh αὐτῶν, VΓ ὦ VΓLh Μοῦσα, τῶν προειρημένων ποιητῶν καὶ VΓ τῶν παίδων τοῦ Καρκίνου. VΓLh

book 818a ἀφῆκε τὸ ῥῆμα καὶ ἀντεπίρρημα. RVΓ

book 818b Ald

book 819a ὡς χαλεπὸν Γ: κορωνίς· προΐασι γὰρ οἱ ὑποκριταί. καὶ τὰ πρῶτα ἰαμβικὰ τρίμετρα ἀκατάληκτα λς′. VΓ

book 819b ὡς χαλεπὸν ἦν: κορωνὶς εἰσιόντων αὖθις τῶν ὑποκριτῶν. οἱ δὲ στίχοι εἰσὶν ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι λζ′, ὧν τελευταῖος λείχειν. ἄρ’ αὐτῇ καὶ κανᾶ σκευαστέον. ἐπὶ τῷ τέλει κορωνίς. Lh

book 819c ὁ Τρυγαῖός ἐστι κατελθὼν ἐκ τοῦ οὐρανοῦ, καὶ λοιπὸν τῇ οἰκίᾳ πλησιάσας τὸν κόπον, ὃν ὑπέστη, διηγεῖται. RVΓ

book 821 δοκεῖ καὶ τοῖς ἄνω τὰ κάτω μικρὰ φαίνεσθαι. RVΓ

book 822 κακοήθεις πάνυ Γ: ἀνθυπήλλαξεν RΓ ἀντὶ τοῦ εἰπεῖν “μικρότεροι” παρ’ ὑπόνοιαν διαβάλλων Ἀθηναίους ὡς κακούργους. RVΓ

book 823 —Lh

book 824 ἐπυθόμην τινός Γ: ἀντὶ τοῦ εἰπεῖν “ὡς νομίζω” ὡς περὶ ἄλλου φησίν. RVΓ

book 826 νυν] δή. Lh

book 829 ψυχὰς δύ’ ἢ τρεῖς RΓ: διαβάλλει αὐτοὺς ὡς μετεώρους, ἐπεὶ περὶ τῶν νεφελῶν λέγουσι πολλά. RVΓ

book 830a ἀναβολὰς RV: τὰς R ἀρχὰς τῶν ᾀσμάτων. RV

book 830a alpha ἤτοι ὁ φορμίζων ἀνεβάλλετο φησὶν Ὅμηρος. R

book 830a beta Ὅμηρος· ἤτοι ὁ φορμίζων ἀνεβάλλετο καλὸν ἀείδειν. V

book 830b alpha τὰ προοίμια τῶν διθυραμβοποιῶν ὡς ἐπὶ τὸ πλεῖστον ἀπᾴδοντά ἐστι καὶ οὐδὲν πρὸς τὸ πρᾶγμα δηλοῖ. τὸ δὲ τοιοῦτον μετεώρων ἀνδρῶν. RVΓ

book 830b beta τὰ προοίμια αὐτῶν ὡς ἐπὶ τὸ πλεῖστον ἀπᾴδοντά ἐστι πρὸς τὸ πρᾶγμα· ὅπερ μετεώρων ἐστὶν ἀνδρῶν. Lh

book 831a τὰς ἐνδιαεριανερινηχέτους Γ: κωμῳδεῖ τοὺς διθυραμβοποιοὺς ὡς ἀπὸ τοῦ ἀέρος ἀρχομένους. RΓLh

book 831b alpha συνεχῶς κωμῳδοῦσι τοὺς διθυραμβοποιοὺς ὡς ἐκ τοῦ ἀέρος καὶ τῶν νεφελῶν σπῶντας τὰς λέξεις διὰ τὸ συνθέτους εἶναι παρ’ αὐτοῖς. VΓ

book 831b beta συνεχῶς αὐτοὺς κωμῳδοῦσιν ὡς ἀέρας καὶ νεφέλας καὶ τὰ ἐκ τούτων σύνθετα ποιοῦντας. VΓLh

book 831c alpha μήποτε οὐκ ἀορίστως μόνον, ἀλλὰ καί τινος τῶν διθυραμβοποιῶν λέξεις τινὰς χλευάζει. VΓ

book 831c beta λέξεις τινὰς αὐτῶν διαβάλλει VΓLh ὡς τοιαῦτα λεγόντων. VΓ

book 831d Δίδυμος πεπλάνηται λέγων αὐερινηχέτους· οὐ γὰρ λέγουσιν αὐέρα οὗτοι. VΓ

book 835-837a Ἴων RVΓ ὁ Χῖος RΓ: Ἴων RLh διθυράμβων ποιητὴς καὶ τραγῳδίας καὶ μελῶν. ἐποίησε δὲ ᾠδὴν ἧς ἡ ἀρχὴ ἀοῖον ἀεροφοίταν ἀστέρα μείναμεν, RVΓLh ἀελίου λευκῇ πτέρυγι πρόδρομον. RVΓ φαίνεται δὲ τετελευτηκὼς RVΓLh εἶναι Lh ἐκ τούτων. παίζων οὖν ὁ Ἀριστοφάνης ἀοῖον αὐτόν φησιν ἀστέρα κληθῆναι. περιβόητος δὲ ἐγένετο. RVΓ ἔγραψε δὲ καὶ RVΓLh κωμῳδίας καὶ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἐπιγράμματα RVΓ καὶ VΓ παιᾶνας καὶ VΓLh ὕμνους καὶ VΓ σκολιὰ καὶ VΓLh ἐγκώμια καὶ V ἐλεγεῖα, καὶ καταλογάδην τὸν πρεσβευτικὸν λεγόμενον, VΓLh ὃν νόθον ἀξιοῦσιν εἶναί τινες, καὶ οὐχὶ αὐτοῦ. VΓ φέρεται δὲ αὐτοῦ καὶ VΓLh κτίσις καὶ κοσμολογικὸς καὶ VΓ ὑπομνήματα καὶ ἄλλα τινά. καὶ πάνυ δόκιμος ἦν. VΓLh φασὶ δὲ αὐτὸν ὁμοῦ διθύραμβον καὶ τραγῳδίαν ἀγωνισάμενον ἐν τῇ VΓ Ἀττικῇ νικῆσαι, καὶ εὐνοίας χάριν προῖκα χῖον οἶνον πέμψαι Ἀθηναίοις. καὶ Σωκράτους δὲ τοῦ φιλοσόφου ἐστὶν εἰς αὐτὸν λόγος

book 835-837a λεγόμενος Ἴων. μέμνηται αὐτοῦ καὶ Καλλίμαχος ἐν τοῖς Χωλιάμβοις, ὅτι πολλὰ ἔγραψεν. V

book 835-837b alpha ἀοῖον αὐτὸν: ὅτι ὁ μὲν Ἴων ἤδη τεθνήκει, δῆλον. οὐκ ἄδηλον δέ ἐστιν ὅτι πρὸς τὸ ὑπ’ αὐτοῦ ἔν τινι τῶν διθυράμβων λελεγμένον, τὸ “ἀοῖος ἀστήρ”, παίζων καὶ ὁποίως ἀοῖον αὐτόν φησιν ἀστέρα κεκλῆσθαι. V

book 835-837b beta ὅσπερ κτλ.] δῆλον δὲ ὅτι πάλαι ἐτεθνήκει. Lh 837] δῆλον ὅτι ἔν τινι τῶν διθυράμβων ἦν τὸ “ἀοῖον ἀστὴρ παίδων”. Lh

book 836 ἦλθ’ εὐθέως] ἐνθάδε V εἰς τὸν οὐρανόν. ἀπέθανε γάρ. RVLh

book 837 ἀοῖον: τὸν ἑῷον. R

book 839 οἳ καόμενοι] οἱ σπινθηρίζοντες, οἱ καλούμενοι διᾴττοντες, RV οἱ ἐν τῷ λάμπειν τοὺς σπινθῆρας πέμποντες. V

book 841a ἰπνοὺς ἔχοντες R: οὓς νῦν ἡμεῖς λαμπτῆρας ἢ φανοὺς καλοῦμεν. RVLh

book 841b τοὺς νῦν φανοὺς καλουμένους λύχνους τινάς φασι λέγειν τῶν παλαιῶν, τὰς δὲ λαμπάδας τοὺς τραγικοὺς φανοὺς ἢ πανοὺς διὰ τοῦ π. V

book 842a ἐλέγετο ὅτι δύο πόρνας εἶχε τῇ Εἰρήνῃ συναφθείσας, τήν τε Ὀπώραν καὶ τὴν Θεωρίαν, ὧν ἣν μὲν ἔδωκε τοῖς γεωργοῖς, τὴν Ὀπώραν, τῇ δὲ βουλῇ τὴν Θεωρίαν. τούτων οὖν τὴν μὲν Ὀπώραν ὁ Τρυγαῖος δίδωσι τοῖς οἰκέταις ἀπαγαγεῖν ὡς τὴν οἰκίαν ὡς αὐτὸς αὐτὴν γαμήσων, καὶ παρακελεύεται τὰ πρὸς τοὺς γάμους VLh αὐτῆς V εὐτρεπίσαι· τὴν δὲ Θεωρίαν αὐτός φησιν ἀπομόσας δώσειν τῇ βουλῇ. ἴσως δὲ ἡ Εἰρήνη ἐν VLh τῷ V οὐρανῷ ἔμεινεν· VLh οὐδαμοῦ γὰρ ποιεῖται αὐτῆς μνήμην ὡς κατελθούσης. V

book 842b ταυτηνὶ λαβών: ἀντὶ τοῦ R “τὴν Ὀπώραν”. RV

book 843 ἀντὶ τοῦ R “κατακλύζεσθαι ποίησον”, ὅ ἐστι γέμισον ὕδατος. RV

book 844 προστακτικόν ἐστι τὸ “στόρνυ”, καὶ ἔστιν ὁ “τέ” σύνδεσμος. RV

book 846 τήνδε] τὴν Θεωρίαν. R

book 849 πιθανῶς ἐδήλωσεν, ὅτι πόρναι ἦσαν ἡ Ὀπώρα καὶ ἡ Θεωρία. RVLh

book 850 οὔκ, RV ἀλλὰ vLh τοῦτο, Lh ἀλλ’ ὡσεὶ εἶπεν “ἀλλ’ οὐχὶ κἀκεῖ τινές εἰσιν ἀπὸ τούτων;”. ἐπεὶ πῶς ἀπαρνησάμενος συντίθεται πάλιν; RVLh

book 851a ἄγε νυν RVLh ἴωμεν RV: ὁ θεράπων λέγει RVLh “ἄγε νυν ἴωμεν” RV τῇ Ὀπώρᾳ, εἶτα ἐρωτᾷ τὸν δεσπότην περὶ τῆς Ὀπώρας. RVLh

book 851b νυν] δή. Lh

book 854 λείχειν ἄνω Lh: τοῦτο καὶ τὸ ἑξῆς διὰ τὸ κακέμφατόν τινες παραιτοῦνται, RVLh ὅτι ἐπαμφοτερίζον λέλεκται, καὶ πρὸς τὸ πρᾶγμα καὶ πρὸς τὸ ἀσελγές. VLh

book 855a εἰς τὸ κακέμφατον τῆς πόρνης RV λέγεται. V

book 855b 〈κανᾶ: κανίσκια.〉 Ald

book 855c Ald

book 856a

εὐδαιμονικῶς: διπλῆ· ἕπεται γὰρ μέλος ἀμοιβαῖον τοῦ χοροῦ καὶ τοῦ ὑποκριτοῦ. οὗ ἐστι πρῶτον ἐν εἰσθέσει κῶλα γʹ τοῦ χοροῦ, ὧν τὸ πρῶτον καὶ τὸ βʹ ἰωνικὸν ἀπὸ μείζονος ἑφθημιμερῆ συνημμένα, τὸ δὲ γʹ ἰωνικὸν καὶ αὐτὸ ἡμιόλιον· καὶ τοῦ ὑποκριτοῦ στίχος τετράμετρος ὅμοιος τοῖς ἄνω. ταῦτα δύναται εἶναι στροφὴ καὶ ἀντίστροφος, τὰ δὲ ἑξῆς εἰς ἐπῳδόν· εἰσὶ δὲ τοῦ χοροῦ στίχοι ὅμοιοι τοῖς ἄνω ἰαμβικοὶ τετράμετροι καταληκτικοί. δύο δὲ ἐν ἐκθέσει στίχοι ἴαμβοι τετράμετροι καταληκτικοί. V

book 856b εὐδαιμονικῶς: στροφὴ ἀμοιβαία κώλων ζʹ· ἔχει δὲ καὶ ἀντιστροφήν, τὸ ἦ χρηστὸς ἀνήρ. καί εἰσι τοῦ μὲν χοροῦ τὰ κῶλα ἰωνικὰ ἀπὸ μείζονος, τὰ μὲν βʹ δίμετρα ἀκατάληκτα, τὸ δὲ γʹ ἡμιόλιον· ὁ δὲ τοῦ ὑποκριτοῦ στίχος ἰαμβικὸς τετράμετρος καταληκτικός. καὶ αὖθις τὰ τοῦ χοροῦ τρία LhAld

book 856b alpha κῶλα ὅμοια τοῖς ἄνω τρισίν. ἐπὶ τῷ τέλει παράγραφος καὶ διπλῆ ἔσω νενευκυῖα. καὶ ἑξῆς ἐν εἰσθέσει σύστημα κατὰ περικοπὴν στίχων ἰαμβικῶν τετραμέτρων καταληκτικῶν εʹ. ἐπὶ τῷ τέλει παράγραφος. Lh

book 856b beta 〈τοῖς ἄνω κάτισα κώλοις. ὑφ’ ἃ παράγραφος καὶ ἡ ἔσω διπλῆ. ἑξῆς δ’ ἐν εἰσθέσει σύστημα κατὰ περικοπὴν στίχων ἰαμβικῶν τετραμέτρων καταληκτικῶν εʹ, ὑφ’ οὓς κορωνίς.〉 Ald

book 856c στροφὴ κώλων ζʹ: Lh

book 856d εὐδαιμονικῶς γ’ ὁ πρεσβύτης R: εὐδαιμονικῶς ὁ πρεσβύτης τὰ νῦν πράττει, ὅσον ἔστιν ἰδεῖν. RV

book 857a Ἀττικοὶ οὕτως ἔλεγον ἀντὶ τοῦ “νῦν”. R

book 857b τὰ νῦν τάδε: ἀττικῶς οὕτως ἔλεγεν ἀντὶ τοῦ “νῦν”. V

book 861a οἷον πάλιν ἀνανεάζων. V

book 861b ἀντὶ τοῦ “γενόμενος”. R

book 862a μυραλοιφίαις ἀληλιμμένος. V

book 862b —˙< Lh

book 863a σύστημα κατὰ περικοπὴν κώλων εʹ. Lh

book 863b οἶμαι, φησί, πάλιν νέος εἶναι, ὡς προεῖπον. V

book 863c τῶν τιτθίων] τῆς Ὀπώρας. V

book 864a εὐδαιμονέστερος R: ἀντὶ τοῦ RLh “κακοδαιμονέστερος” ἐν εἰρωνείᾳ. RVLh

book 864b στροβίλους φησὶ τούτους ἢ διὰ τὸ τραχὺ τοῦ σώματος ἢ πρὸς τὸ τοῦ Καρκίνου ὄνομα παίζων· ὀστρακόδερμοι γὰρ οἱ καρκίνοι, καθάπερ καὶ οἱ στρόβιλοι. ἢ διὰ τὸ ἐν τῇ ὀρχήσει στροβεῖσθαι. RVLh

book 864c ἐπειδὴ καὶ οἱ στρόβιλοι κώνου ἐπέχουσι δίκην. VLh

book 864d στρόβιλός ἐστιν ἡ συστροφή. στροβίλους οὖν εἶπε καθ’ ὃ καὶ ἀλλαχοῦ γυλιαύχενας. RVLh

book 865 ὄχημα κανθάρου R: παρατηρητέον ὅτι οὐκ ἐπὶ ἁρμάτων μόνον ἔλεγον ὄχημα. RV

book 867a παραγραμμίσαι μοι δοκεῖ τοῦ γελοίου χάριν, ἀντὶ τοῦ “πίνειν καὶ καθεύδειν”. V

book 867b Ald

book 868 ἡ παῖς λέλουται: κορωνὶς ἑτέρα εἰσιόντων τῶν ὑποκριτῶν LhAld

book 868alpha οἱ δὲ στίχοι εἰσὶν ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι μαʹ, ὧν τελευταῖος ἀλλ’ εὗρον ἄν σου ὑπέχοντα τὴν ἐκεχειρίαν. Lh ἐπὶ τῷ τέλει κορωνίς. LhAld

book 868beta 〈ἐξ ἰαμβείων μαʹ.〉 Ald

book 869a παρὰ τὸ ἐν τοῖς γάμοις ἔθος· ἐδόκουν γὰρ ἐν τοῖς γάμοις σήσαμον διδόναι. V

book 869b σησαμὴ R: πλακοῦς γαμικὸς ἀπὸ σησάμων πεποιημένος διὰ τὸ πολύγονον, ὥς φησι Μένανδρος. RV

book 869c ξυμπλάττεται] κατασκευάζεται. V

book 870 εἰς τὸ σχεῖν τὴν Ὀπώραν. V

book 871 νυν] δή. Lh

book 872 πρὸς οὐδὲν τὸ “τί”. V

book 874a ἐπαίομεν R: συνουσιάζομεν, ἠλαύνομεν. RV

book 874b Βραυρῶναδ’: πόρνη γάρ. ἐν Βραυρῶνι δὲ δήμῳ τῆς Ἀττικῆς πολλαὶ πόρναι. ἐκεῖ δὲ καὶ τὰ Διονύσια ἤγετο RV —ὡς καθ’ ἕκαστον δῆμον—ἐν οἷς ἐμέθυον· R μεθύοντες δὲ πολλὰς πόρνας ἥρπαζον. RV

book 875 καὶ μόλις ταύτης ἐγκρατεῖς γεγενήμεθα. V

book 876a τὴν πρωκτοπεντετηρίδα: διὰ γὰρ πενταετηροῦς χρόνου ἄγονται αἱ θεωρίαι τῶν Διονυσίων. R

book 876b 〈πρωκτο〉 πεντετηρίδα: παρεπιγραφή· ἁπτόμενος γὰρ αὐτῆς τῆς πυγῆς 〈φησι〉 καὶ θαυμάζων καὶ τοῖς θεαταῖς ἐπιδεικνύμενος τὸ αἰδοῖον. V

book 876c –πεντετηρίδα: προσέθηκε τὸ ἔργο** τῆς θεωρίας· διὰ πενταετοῦς γὰρ ἐπιτελοῦνται τὰ Διονύσια. ἢ ὅτι διὰ πέντε ἐτῶν εἶδον τὴν Θεωρίαν. V

book 878 τήνδε: τὴν Θεωρίαν. G

book 879a οὗτος τί περιγράφεις R: εἷς τῶν θεατῶν τὰ ἰσχία τῆς Θεωρίας καταλαμβάνει καὶ ἐφάπτεται περιφέρων τὸν δάκτυλον. RV

book 879b οὗτος τί περιγράφεις V: ἐπιτιμᾷ ὁ δεσπότης ὡς ἁπτομένῳ τῶν ἰσχίων αὐτῆς. περιγράφειν γάρ ἐστι τὸ περιορίζειν ἁπτόμενον. RV

book 879c τῷ δακτύλῳ περιέγραφε τὰ ἰσχία. V

book 879d τὸ δεῖν’ εἰς Ἴσθμια R: οἱ γὰρ θέλοντες θεωρεῖν προκαταλαμβάνουσιν ἑαυτοῖς τόπους. “εἰς Ἴσθμια” δὲ εἴρηκεν, ἅμα ὅτι καὶ ἀγὼν ἰσθμιακός, καὶ διὰ τὴν στενότητα τοῦ αἰδοίου τῆς πόρνης, RV διὸ καὶ εἶπε “τῷ πέει σκηνὴν ποιῶ”· στενὸς δὲ καὶ ὁ Ἰσθμός. πάσας δὲ τὰς πανηγύρεις θεωρίας ἐκάλου. RVbis

book 879e στενοῦ γὰρ ὄντος τοῦ τόπου πάντες προλαβεῖν σπεύδουσιν, ἐπεὶ οὐχ εὑρίσκουσι ξενίαν. πιθανῶς δὲ οὔτε Ὀλύμπια οὔτε Πύθια εἶπεν. V

book 879f τὸ λεγόμενον τοιοῦτόν ἐστι· προκαταλαμβάνω θήκην ἐμαυτοῦ ταῖς ἡδοναῖς. ἐπεὶ δ’ ἐν Ἰσθμῷ διὰ τὴν τοῦ τόπου στενοχωρίαν οὐκ ἔστι ξενίας ἐπιτυχεῖν εὐχερῶς, ἔθος τῇ πανηγύρει τῶν Ἰσθμίων πρόπαλαι καταλαμβάνειν τὰς σκηνὰς τοῖς πανηγυρίζειν βουλομένοις. V

book 879g διττὴ ἡ ἑρμηνεία, πρός τε τὴν θεωρίαν καὶ πρὸς τὴν γυναῖκα. V

book 879h ἅμα πρὸς τὴν θεωρίαν τὰ Ἴσθμια. RV

book 881 ὁ δυνάμενος φυλάξαι τὴν Θεωρίαν, ἕως αὐτὴν παραδῶ τῇ βουλῇ. R

book 882 μέσους] τοὺς θεατάς· ἢ τὸ βουλευτήριον. R

book 883 Ἀριφράδης Vbis: τεχνικῶς περὶ τῆς Θεωρίας διαλεγόμενος ἐκείνου ἀνθάπτεται. RVbis

book 885a τὸν ζωμὸν αὐτῆς: ἅμα καὶ ὅτι ἐν ταῖς θεωρίαις ζωμοὶ γίνονται ἀπὸ τῶν βοῶν τῶν θυομένων, ἅμα καὶ ὅτι λείκτης διεβάλλετο ὁ Ἀριφράδης καὶ μεμηνὼς ἐπὶ γυναιξίν. RV

book 885b ὡς φοινικιστὴς γὰρ λοιδορεῖται, RV ὅπερ καὶ ἐκ τοῦ “προσπεσών” δηλοῖ. RVbis

book 885c ἐκλάψεται: ἔφην ὅτι ὡς ἀρρητοποιὸν αὐτὸν διαβάλλει. ὁρᾷς οὖν ὡς ἐπαμφοτεριζούσαις χρῆται ταῖς λέξεσιν ὡς καὶ ἐπὶ τῆς θεωρίας διαλεγόμενος κἀκείνου καθαπτόμενος. V

book 885d ἐκλάψεται: ἐκπίεται καὶ ἐκροφήσει. V

book 885e καὶ τὸ σχῆμα τῆς αἰσχρουργίας διὰ τοῦ “προσπεσών” δείκνυσιν. V

book 886 τὰ σκεύη RV χαμαί V: ἀντὶ τοῦ R “τὰ μαγειρεῖα” διὰ τὸ θύειν ἐν ταῖς πανηγύρεσιν. ἢ πρὸς τὴν Θεωρίαν λέγει φέρουσάν τινα εἰρήνης καὶ γεωργίας σύμβολα. RV

book 887a βουλή, πρυτάνεις R: τὸν λόγον ἀπέτεινε λοιπὸν πρὸς τὴν βουλὴν ὡς παραδιδοὺς τὴν Θεωρίαν. RV

book 887b πρυτάνεις: τῆς γὰρ βουλῆς ἐπρυτάνευον δέκα, ἄλλοι δέ φασιν ὀκτώ. V

book 890a ἀντὶ τοῦ “θυσίαν ἐπιτελεῖν”. V

book 890b ἀνάρρυσιν R: ἀνάρρυσις μία τῶν Ἀπατουρίων RVbis ἡμέρα. Ἀπατούρια δὲ ἑορτὴ παρ’ Ἀθηναίοις RV τὸ συμβὰν δηλοῦσα τῇ προσηγορίᾳ. V

book 890c ἀνάρρυσιν V: τρεῖς ἦσαν ἡμέραι τῶν Ἀπατουρίων, δόρπεια, κουρεῶτις, ἀνάρρυσις. RV

book 890d παρὰ τὸ αἴρειν τὰ σκέλη ἔπαιξεν. RV

book 891a τὸ αἰδοῖον αὐτῆς δείκνυσιν. RVbisLh

book 891b ὀπτάνιον Lh: τὸ μαγειρεῖον, ὅπου τῇ βουλῇ σκευάζεται μετὰ τὰς θυσίας κρέα· ὃ περικαίεται μάλιστα. VLh

book 892a alpha κεκάπνικ’· ὡς ἐπὶ ὀπτανίου. R

book 892b alpha ὡς ἀποπνευματισάσης. R

book 892c alpha κεκάπνικ’: ἐπειδὴ μέλαν ἐστὶ διὰ τὰς τρίχας. καὶ αὕτη διαφέρει ἡ ἐξήγησις τοῦ λέγοντος αὐτὴν ἀποπνευματίσαι, ἣν καὶ ἐπλάσαντο τὴν ἄλλην μὴ νοήσαντες. V

book 892abc beta κεκάπνικ’· ὡς ἐπὶ ὀπτανίου. ἢ διὰ τὰς τρίχας. ἢ ὡς ἀποπνευματισάσης. Lh

book 893a πόλεμος γὰρ τοῖς Ἀθηναίοις V συνέστη πρὸς Βοιωτούς. ἡγεῖτο δὲ τῶν μὲν Βοιωτῶν Ξάνθος, ἐβασίλευε δὲ τῶν Ἀθηναίων Θυμοίτης κατ’ ἐκεῖνο καιροῦ τῇ ἡλικίᾳ ἤδη γέρων. ὁ οὖν Ξάνθος ὁ τῶν Βοιωτῶν προεκαλέσατο εἰς μονομαχίαν τὸν Θυμοίτην, ἐφ’ ᾧ, εἰ μὲν αὐτὸς νικήσει, κρατήσει καὶ τῆς τῶν Ἀθηναίων ἀρχῆς, εἰ δὲ ὁ Θυμοίτης, καὶ τῆς τῶν Βοιωτῶν. RV ὁ οὖν Θυμοίτης οὐ βουλόμενος διὰ τὸ γῆρας, ἵνα μὴ διὰ τὴν αὐτοῦ ἀσθένειαν ἡ πατρὶς ἄλλῳ δουλεύσῃ, ἀνεκήρυξε τῷ μονομαχοῦντι τὴν ἀρχήν. Μελάνθιος δέ τις Ἀρκὰς τὸ γένος ἐν Ἀττικῇ οἰκῶν ὑπέστη τὸ μονομάχιον. καὶ κατελθόντων αὐτῶν εἰς τὸ ἀφωρισμένον χωρίον ἐπὶ τὸ μονομαχῆσαι ὁ Μελάνθιος δόλῳ ἀναιρεῖ τὸν Ξάνθον. προσιόντι γὰρ αὐτῷ ἔφη· ἀδικεῖς, ὦ Ξάνθε,

book 893a μόνος φήσας διαμάχεσθαι καὶ δεύτερος παραγενόμενος. ἐφ’ ᾧ στραφεὶς ὁ Ξάνθος ὡς θεασόμενος τὸν ἥκοντα ἐτρώθη παρὰ τοῦ Μελανθίου καὶ ἀπώλετο. ἀφ’ οὗ καὶ τὴν ἑορτὴν Ἀθηναῖοι ταύτην ἄγουσιν ἀπὸ τῆς ἀπάτης Μελανθίου Ἀπατούρια προσαγορεύσαντες. τινὲς δέ φασι τὸν Διόνυσον παραστῆναι τῷ Ξάνθῳ σὺν ἀγροικικῷ σχήματι, ὃν θεασάμενος Μελάνθιος τὰ εἰρημένα διεπράξατο· ὅθεν καὶ αὐτῷ ἦγον τὴν ἑορτὴν ταύτην. V

book 893b πρὸ τοῦ πολέμου Γ τὰ λάσανα RΓ: ὅτι VΓ οὕτως οἱ χυτρόποδες. ἐπεὶ δὲ εἶπε “τὸ ὀπτάνιον”, ἐπήγαγε καὶ “τὰ λάσανα”. δηλοῖ δὲ τοὺς δασεῖς αὐτῆς μηρούς, δηλοῖ δὲ καὶ τὰ μαγειρεῖα, ὅπου τῇ βουλῇ σκευάζεται μετὰ τὰς θυσίας κρέα. RVΓ

book 894 ἐξέσται ποιεῖν Γ: οὐδὲν εὐφυέστερον τῆς παρενθέσεως, ἵνα ἐπὶ πλέον χρήσασθαι δυνηθῇ τοῖς μέσοις ῥήμασιν. VΓ

book 896a ὡς ἐπὶ συνουσίᾳ λέγει. R

book 896b 896] ὅλα ὡς ἐπὶ συνουσίας σχημάτων καὶ θεωρίας. ΓLh

book 896c

Eulogikon public reading copy · View original HTML at eulogikon.org

δεικνύς τε τὰ μὲν ὡς ἐπὶ παλαισμάτων, τὰ δὲ ὡς ἐπὶ γυναικείων σχημάτων. RVΓ

book 898a πὺξ ὁμοῦ Γ: παρὰ τὸ λεγόμενον “πὺξ ὁμοῦ καὶ τῷ σκέλει”. RVΓ

book 898b παρὰ προσδοκίαν ἀντὶ τοῦ RVΓ “τῷ σκέλει”. RVbisΓ

book 899a τρίτῃ δὲ μετὰ ταῦθ’ R ἱπποδρομίαν Γ: τὸ γὰρ παλαιὸν RVΓLh ἐν Lh ταῖς ὑστέραις ἡμέραις τὰς ἱπποδρομίας ἦγον ἐν τοῖς ἀγῶσιν. RVΓLh

book 899b τῇ τρίτῃ τῶν Ἀπατουρίων ἱπποδρομία ἤγετο. RVΓ

book 900 κέλης κέλητα: παρὰ τὴν συνουσίαν καὶ τοὺς κέλητας ἵππους, οἵ εἰσι μονάτορες. RΓLh

book 901a ἅρματα RΓ: ἀντὶ τοῦ εἰπεῖν “σώματα” “ἅρματα” εἶπεν. RVΓ

book 901b ἀνατετραμμένα R: ἀντὶ τοῦ “περικείμενα ἀλλήλοις τὰ σώματα”. RΓLh

book 902 προσκινήσεται Γ: ὅρα τὸ ἀστεῖον οἷον· δῆλον γάρ ἐστιν ὃ διὰ τῆς τροπῆς λέγει. ΓLh

book 904 〈καμπαῖς: συστροφαῖς. καὶ κάμπιος δρόμος οὐκ εὐθὺς καὶ ἁπλοῦς, ἀλλὰ καμπὰς ἔχων.〉 Ald

book 905-907alpha ἀλλ’ οὐκ ἂν εἴ τι προῖκα RΓ: τοῖς πρυτάνεσιν ἔθος RVΓ ἦν RV προσάγειν τοὺς δεομένους προσόδου ἐν τῇ βουλῇ. ἐδωροδοκοῦντο δὲ παρὰ τῶν δεομένων. RVΓ

book 905-907beta ἀλλ’ ὦ πρυτάνεις ΓLh: τοῖς πρυτάνεσιν ἔθος ἦν προσάγειν τοὺς δεομένους εἰς τὴν βουλήν. καὶ δῆλον ὅτι ἐδωροδοκοῦντο παρὰ τῶν χρῃζόντων προσελθεῖν· καὶ εἰ μέν τις αὐτοὺς ἐχρημάτιζε, προθύμως συνεπελαμβάνοντο VΓLh αὐτοῖς, Lh τοὺς δὲ προῖκα προσιέναι θέλοντας οὐκέτι μετ’ ἴσης σπουδῆς προσῆγον. VΓLh

book 908a ἀλλ’ εὗρον ἄν ς’ ὑπέχοντα VΓ: ἀλλὰ κατέλαβόν σε ὑπέχοντα τὴν χεῖρα ἑτοίμην πρὸς τὸ λῆμμα. RVΓ

book 908b σκώπτει αὐτοὺς ὡς ἥττονας λήμματος. RVΓLh

book 908c ἐπειδὴ ἐκεχειρίαι τότε πρὸς τοὺς Λάκωνας ἦσαν αὐτοῖς, πρὸς τοῦτο ἔπαιξεν, ἅμα VΓ δὲ Γ καὶ σκώπτων αὐτοὺς ὡς ἥττονας λήμματος. VΓ

book 908d alpha τὴν ἐκεχειρίαν: ἅμα μὲν ὡς προφασιζομένων ὅτι “ἐκεχειρία ἐστίν· οὐ δυνάμεθα σήμερον προσαγαγεῖν” καὶ μὴ προσαγόντων τῇ βουλῇ τοὺς μὴ δεδωκότας αὐτοῖς τῶν δεομένων, ἅμα δὲ RVΓ καὶ Γ πρὸς τὸ ὑπέχειν τὴν χεῖρα ἐπὶ τὸ λαβεῖν. RVΓ

book 908d beta ἐπεὶ εἰώθασι λέγειν “ἐκεχειρία ἐστίν· οὐ δυνάμεθα σήμερον εἰσάγειν”. VΓ

book 908e ἀναβάλλονται γὰρ ἐπὶ τῶν μηδὲν διδόντων οὕτως. VΓ

book 908f alpha ἐκεχειρία ἡ ἀνοχὴ πολέμου παρὰ τὸ ἀπέχειν τὰς χεῖρας. νῦν δὲ παίζει 〈πρὸς〉 τὸ ἔχειν τι ἐν τῇ χειρὶ παρὰ τῶν δεομένων. VΓ

book 908f beta τὴν ἐκεχειρίαν Γ: ἐκεχειρία ἡ ἀνοχή, ὅτι δεῖ τὰς χεῖρας ἐπέχειν τῶν ἔργων. νῦν δὲ παίζει πρὸς τὸ ἔχειν τι ἐν τῇ χειρὶ παρὰ τῶν δεομένων. VΓ

book 908g παρὰ τὴν χεῖρα παίζει. VΓ

book 908h ὑπέχοντα τὴν ἐκεχειρίαν] προφασιζόμενον ἀργίαν. VΓ

book 908i Lh

book 909a alpha ἡ χρηστὸς ἀνὴρ: ἡ ἀντιστροφὴ αὕτη τῆς ῥηθείσης ἐστὶ στροφῆς, ἧς ἡ ἀρχὴ εὐδαιμονικῶς. ἔστι δὲ καὶ αὕτη κώλων ὁμοίων ἐκείνῃ ζʹ. ἐπὶ τῷ τέλει δύο διπλαῖ ἔξω νενευκυῖαι. καὶ ἑξῆς σύστημα κατὰ περικοπὴν ὅμοιον τῷ ῥηθέντι συστήματι στίχων ἰαμβικῶν τετραμέτρων καταληκτικῶν εʹ. ἐπὶ τῷ τέλει παράγραφος. Lh

book 909a beta 〈ἦ χρηστὸς ἀνὴρ: ἰδοὺ ἡ ἀντιστροφὴ τῆς “εὐδαιμονικῶς” στροφῆς ἄλλα τε ὅσα ἐκείνη καὶ τὸ κατὰ περικοπὴν ἔχουσα σύστημα. ἐπὶ τῷ τέλει αἱ ἀμφοτέρωθεν ἔξω διπλαῖ τῆς ἀντιστροφῆς· τὰ γὰρ τετράμετρα τῶν ἰαμβείων παραγράφῳ περατοῦται.〉 Ald

Eulogikon public reading copy · View original HTML at eulogikon.org

book 909b ἀντιστροφὴ κώλων ζʹ. Lh

book 909c οὔτε συμπολίτην οὔτε συνδημότην λέγουσιν. VΓ

book 915 〈 〉 Ald

book 916 λεπαστήν: εἶδος ποτηρίου μεῖζον ἢ κύλιξ. οὕτως ὁ Σύμμαχος. ὁ δὲ Παλαμήδης τὸ πιθάριον ἐκδέχεται. RVΓLh

book 920 τὸν δημότην] ἀντὶ τοῦ RVΓ "τὸν R δημοτικόν". RVΓ

book 922a διπλῆ καὶ ἔκθεσις εἰς ἰάμβους τριμέτρους ἀκαταλήκτους ιζʹ. V

book 922b ἄγε δὴ τί νῷν: κορωνὶς ἑτέρα ὁμοία τῇ ῥηθείσῃ· ἧς οἱ μὲν ιζʹ στίχοι ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι, ὁ ιηʹ ὅμοιος τετράμετρος καταληκτικός. τὰ ἑξῆς δύο κῶλα ἀναπαιστικὰ δίμετρα, LhAld

book 922b alpha τὸ μὲν ἀκατάληκτον, τὸ δὲ καταληκτικόν. ὁ δὲ καʹ, ὁ ὡς ταῦτα δῆλά γʼ ἔσθʼ· ὁ γὰρ βωμὸς θύραισι καὶ δή, ἰαμβικὸς τετράμετρος ἀκατάληκτος. ἐπὶ τῷ τέλει κορωνίς. Lh

book 922b beta 〈ὧν τὸ μὲν ἀκατάληκτον, τὸ δʼ οὔ. ὁ τελευταῖος ἰαμβικὸς τετράμετρος ἀκατάληκτος. ὑφʼ ὃν κορωνίς.〉 Ald

book 922c νῷν] συνίζησις. Lh

book 923a χύτραις ἱδρυτέον Γ: ὁτὲ μὲν ταῖς χύτραις ὄσπριον ἥψων, ὁτὲ δὲ ἄλλο τι πολυτελέστερον ἱερεῖον, καὶ οὕτως ἵδρυον· καὶ πρὸς τὸ θυόμενον ἔλεγον βοῒ ἱδρύεσθαι ἢ αἰγὶ ἢ προβάτῳ ἢ οἷον ἂν ᾖ τὸ ἱερεῖον, ὥσπερ ἐν Πλούτῳ. VΓ

book 923b ἔθος εἶχον Ἑρμᾶς ἱδρύοντες πρὸ τῶν θυρῶν καὶ ἄλλα τινὰ ἀγάλματα θεοῦ καὶ ὑπὲρ τοῦ μὴ βραδύνειν τὴν ἀνάστασιν χύτραις ἀθάρας ἱδρύεσθαι καὶ ἄλλοις τισίν. VΓ

book 923c χύτραις ἱδρυτέον R: ὁπότε μέλλοιεν βωμοὺς καθιδρύειν ἢ ἀγάλματα θεῶν, ἕψοντες ὄσπριον ἀπήρχοντο τούτων τοῖς ἀφιδρυμένοις χαριστήρια ἀπονέμοντες τῆς πρώτης διαίτης, ὡς οὗτος εἶπεν ἐν Δαναΐσι μαρτύρομαι δὲ Ζηνὸς ἑρκείου χύτρας, μεθʼ ὧν ὁ βωμὸς οὗτος ἱδρύθη ποτέ. ποτὲ δὲ καὶ πολυτελεστέρῳ ἱερείῳ ἀφιδρύοντο. φησὶ δὲ καὶ ἐν τοῖς ἑξῆς Εἰρήνην εἵλοντο καὶ ἱδρύσανθʼ ἱερείῳ. ἐν δὲ τῷ Πλούτῳ τὰς χύτρας, αἷς τὸν θεὸν ἱδρυσόμεθα, λαβοῦσα ἐπὶ τῆς κεφαλῆς φέρε. RVΓ

book 924a χύτραισιν VΓ ὥσπερ μεμφόμενον: ἠγανάκτησαν ἀκούσαντες ἐν χύτραις ἱδρύεσθαι τὴν Εἰρήνην ὡς εὐτελοῦς οὔσης τῆς θυσίας ἐκ τῶν ἄλλων. διό φησιν· ἄλλαις ἱερωσύναις αὐτὴν ὡς πολυτίμητον θεραπεύσωμεν; ἐν δὲ τοῖς ἑξῆς ἱερείῳ φησὶν ἱδρύσασθαι αὐτὴν οὕτως· ὡς οἱ μὲν νέφος ἐχθρὸν ἀπωσάμενοι πολέμοιο Εἰρήνην εἵλοντο, καὶ ἱδρύσανθʼ ἱερείῳ. RVΓ.

book 924b Ἑρμίδιον: ἀντὶ τοῦ "εὐτελές". Γ

book 924c ὡς τοῦ Ἑρμοῦ χύτραις ἱδρυομένου ἐπὶ πολύ, ὡς RVΓ καὶ RV μέμφεσθαι αὐτόν. RVΓ

book 925a λαρινῷ βοΐ ΓLh: ἐπειδὴ ἑώρα αὐτοὺς πρὸς τὴν διὰ τῶν χυτρῶν καθίδρυσιν ἀχθεσθέντας, ἄλλον τρόπον τῆς καθιερώσεως ὑποτίθεται, καί φησιν· "βούλεσθε λαρινῷ βοΐ;" περὶ δὲ τῶν λαρινῶν βοῶν Λύκος μὲν ὁ Ῥηγῖνος ἐπὶ ταῖς πρὸς Ἀλέξανδρόν φησιν ἀπὸ Λαρινοῦ τινος βουκόλου ταύτην αὐτοὺς τὴν προσηγορίαν ἐσχηκέναι. εἰσὶ δέ τινες οἳ παρὰ τὸν λάρον ἀξιοῦσιν αὐτοὺς οὕτω καλεῖσθαι. οἱ δὲ VΓLh

book 925a alpha τὴν ρι συλλαβὴν δασύνουσιν, ἵνʼ ᾖ λαρινοὺς τοὺς μεγαλορίνους· ἐν δὲ τῇ Χαονίᾳ φασὶ τοιούτους εἶναι βοῦς, οὓς καὶ Κεστρίνους καλοῦσιν. VΓ

book 925a beta ὡς μεγαλορίνους ὀνομάζουσιν, ἐκ τοῦ λα καὶ τοῦ ῥινός, τὸ δέρμα. Lh

book 925b

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀντὶ τοῦ R “μεγάλῳ καὶ εὐτραφεῖ”. τοὺς δὲ ἠπειρωτικοὺς βοῦς οὕτω λέγουσιν ἀπό τινος Λαρινοῦ βουκόλου παραλαβόντος παρὰ Ἡρακλέους τὰς Γηρυόνου βοῦς RVΓ καὶ θρέψαντος εἰς εὐεξίαν. VΓ

book 925c τοῦτο Ἡρωδιανὸς ὀξύνει ἐν τῷ ζ′ τῆς καθόλου, λαρινός, ὡς ἀληθινός· ὥστε περισπαστέον τὴν δοτικήν, λαρινῷ. VΓ

book 925d λαρινῷ] μεγαλοβύρσῳ. Γ

book 926a πρὸς τὴν ἀρχὴν τῶν ὀνομάτων τοῦ “βοΐ” καὶ “βοηθεῖν” ἔπαιξεν. R

book 926b 〈βοηθεῖν: ἐπὶ μάχην δραμεῖν.〉 Ald

book 928a ἀντὶ τοῦ “μωρία”. διεβάλλετο δὲ καὶ εἰς μαλακίαν. R

book 928b ὡς ὑώδης καὶ δύσοσμος καὶ πένης. R

book 928c Θεαγένους ὑηνία Γ: μωρία VΓLh καὶ V ἀμαθία. VΓLh διεβάλλετο γὰρ ὁ Θεαγένης VΓ εἰς μαλακίαν καὶ Γ ὡς μωρὸς καὶ ὑώδης. ἦν δὲ ἐκ Πειραιῶς. ἐδόκει δὲ καὶ πένης εἶναι, θρύπτεσθαι δὲ ἐπὶ πλούτῳ. ἦν δὲ τὸ σῶμα παχὺς καὶ χοιρώδης. τὴν δὲ ὑηνίαν τὴν δυσωδίαν τὴν ἐκ τῶν ὑῶν, οἵπερ διαφόροις ἐδέσμασι χρώμενοι δυσώδη ἀποπατοῦσι, εἰς βορβόρους δὲ κυλίονται. ἔστι δὲ καὶ ἄλλος Θεαγένης, ὁ εἰς Ὅμηρον γράψας, ὃς καὶ ἐπὶ μαλακίᾳ διεβάλλετο, καὶ ἄλλοι πολλοί. VΓ

book 930a τοῦτό γ′ ἔστ′ ἰωνικὸν R: οἱ γὰρ Ἴωνες δισυλλάβως λέγουσιν ὄϊς, οἱ δὲ Ἀττικοὶ μονοσυλλάβως καὶ τὰς οἶς καὶ πολλὰ τοῦ αὐτοῦ γένους. RVΓ

book 930b οἱ Ἀττικοὶ συναιροῦντες τὸν ὄϊν RVΓ τὸν Γ οἶν. οἱ γὰρ Ἴωνες πολλὰ διῃρημένως φασίν. RVΓ

book 932a οἱ καθήμενοι ὑπὸ τοῦ δέους Γ: ἵνα ἐπιστένωσι τῷ εἰσηγουμένῳ πόλεμον. τὸ γὰρ ὀΐ ὀδυρομένων ἐστὶν ἐπίφθεγμα καὶ δυσχεραινόντων. RVΓ

book 932b Δίδυμος· ἐν ἐκστάσει· οἱ γὰρ φοβούμενοι οὕτω λέγουσιν. VΓ

book 935a ἀμνοὶ τοὺς τρόπους Γ: ἀντὶ τοῦ R “πραεῖς” RV ἢ R “εὐήθεις”. RVΓLh

book 935b ἁπλοῖ ὡς οἱ κριοί, ἢ πραεῖς καὶ μαλακοί· τὸ γὰρ ἄρρεν πρόβατον, ὅταν ἔχῃ τὴν μέσην ἡλικίαν, ἀμνὸς καλεῖται. οἱ δὲ τὸν ἐνιαύσιον ἄρνα ἀμνὸν καλοῦσιν. RVΓ

book 937 νυν] δή. Lh

book 939a ὡς πάνθ′ ὅς′ ἂν θεὸς θέλῃ: διπλῆ· ἕπεται γὰρ μέλος, ὃ ὑπονοῶ μὲν ἔχειν τὸ ἀντίστροφον ἐν διεχείᾳ, φέρεται δὲ ὡς διάφορον. διόπερ πρότερον παραθήσομαι ὡς φέρεται. καὶ ἔοικεν ἐνταῦθα τὸ “κατορθοῖ” περιττεύειν καὶ ὁ “τέ” σύνδεσμος πρὸς τὸ σε τοι θύρασι χρῆ μένειν ὀντ* τινάς. καὶ τοῦτο δὲ ἁμάρτημά ἐστιν, ὅτι πρῶτα γ′ κῶλά ἐστι καὶ μετὰ ς′. ἀλλὰ ταῦτα μὲν ἐατέον, ὡς δὲ ἔχει, ἐξηγητέον. τὸ τοίνυν πρῶτον τρίκωλον τοῦ ὑποκριτοῦ ἴαμβος τετράμετρος καταληκτικὸς καὶ ἀναπαιστικὰ δύο δίμετρα ἀκατάληκτόν τε καὶ καταληκτικόν. V

book 939b ὡς πάνθ′ ὅς′ ἂν ΓLh θεὸς θέλῃ Γ: ὁ χορὸς ταῦτα θαυμάζων, ὅτι ηὐτύχησεν ὁ γέρων, καθ′ ἑαυτόν. εἶτα πρὸς τὸν πρεσβύτην φησὶ τὸ “χωρεῖ κατὰ νοῦν”. εἶτα τὰ ἑξῆς πάλιν ἰδίᾳ. VΓLh

book 939c χ′ ἡ τύχη R: τινὲς οὕτως· ὁπόσα ἂν θελήσωσιν οἱ θεοί, καὶ ἡ τύχη κατορθοῖ. RVΓLh

book 939d 〈πάνθ′ ὅς′ ἂν θεὸς θέλῃ χ′ ἡ τύχη κατορθοῖ, χωρεῖ κατὰ νοῦν, ἕτερον ἑτέρῳ τούτων κατὰ καιρὸν ἀπαντᾷ: τουτέστιν ὁπόσα ἂν θελήσῃ ὁ θεὸς καὶ ἡ τύχη κατορθοῖ, ταῦτα χωρεῖ κατὰ νοῦν.〉 Su. IV 20, 19

book 940 ἄλλως ἄλλῳ κατὰ τύχην ἀποβαίνει τὰ πράγματα. V

book 941 τούτων] ἤγουν Γ τῶν εὐτυχιῶν VΓLh ἢ τῶν ἀνθρώπων. VΓ

book 942a θύρασι καὶ δή: εἶτα ἐν ἐκθέσει στίχος ἰαμβικὸς τετράμετρος καταληκτικὸς τοῦ ὑποκριτοῦ καὶ ἐν εἰσθέσει 〈τὸ〉 τοῦ χοροῦ, οὗ τὸ πρῶτον προσοδιακὸν ἑνδεκάσημον, τὸ β′ ἀναπαιστικὴ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τριποδία, τὸ δὲ γʹ ἰαμβικὸν ἑφθημιμερές, τὸ δὲ δʹ συζʺ ἰαμβικὸν ἢ ἀναπαιστικόν, τὸ δὲ εʹ ἰαμβικὸν ἑφθημιμερές. V

book 942b ὡς ταῦτα δῆλά γ' R: ἀπὸ τούτων γὰρ κατάδηλόν ἐστιν, εἴ γε χρὴ τεκμήρασθαι τοῖς παροῦσιν. RLh

book 942c θύρασιν] ἀντὶ τοῦ "ἐξ ἑτοίμου". RLh

book 942d Ald

book 943a ἐπείγετε LhAld νῦν Lh: τὰ τοιαῦτα εἴδη καλεῖται ἀλλοιόστροφα. εἰσὶ γοῦν τῆς μὲν πρώτης στροφῆς τὰ κῶλα ἀναπαιστικὰ δέκα ἐπιμεμιγμένα προκελευσματικοῖς· LhAld

book 943a alpha τὸ αʹ δίμετρον βραχυκατάληκτον· τὸ βʹ καὶ γʹ καὶ δʹ ἀναπαιστικὴ βάσις· τὸ εʹ ὅμοιον τῷ αʹ· καὶ τὸ ςʹ ὅμοιον· τὸ ζʹ, τὸ ηʹ καὶ θʹ δίμετρα ἀκατάληκτα· τὸ δὲ ιʹ δίμετρον καταληκτικὸν ἑφθημιμερὲς παροιμιακόν. τοῦ δὲ συστήματος στίχοι ἰαμβικοὶ ἀκατάληκτοι ζʹ. Lh

book 943a beta 〈τούτων δ' ἃ μὲν δίμετρά εἰσιν ἀκατάληκτα, ἃ δ' ἑφθημιμερῆ καὶ βάσεις· μετὰ δὲ ταῦτα ἰαμβεῖα ζʹ.〉 Ald

book 943a τῆς δευτέρας στροφῆς τὰ κῶλα τρία· LhAld

book 943a alpha τὸ αʹ ἰαμβικὸν τρίμετρον καταληκτικόν· τὰ δὲ βʹ ἀναπαιστικά, τὸ αʹ δίμετρον ἀκατάληκτον, τὸ δὲ βʹ καταληκτικόν. Lh

book 943a beta 〈ὧν τὸ μὲν πρῶτον ἰαμβεῖον, τὰ δ' ἄλλα ἀναπαιστικά, δίμετρα μὲν ἄμφω, τὸ δέ τοι δεύτερον καταληκτικόν.〉 Ald

book 943a ὁ ἑξῆς τοῦ ὑποκριτοῦ ἰαμβικὸς τετράμετρος καταληκτικός. τῆς τρίτης στροφῆς τὰ κῶλα ἀναπαιστικὰ τέσσαρα, LhAld

book 943a alpha τὰ μὲν γʹ δίμετρα ἀκατάληκτα, τὸ δὲ δʹ καταληκτικόν. Lh

book 943a beta 〈πλὴν τοῦ τελευταίου ἀκατάληκτα.〉 Ald

book 943a οἱ ἑξῆς αὖθις τοῦ ὑποκριτοῦ ἰαμβικοὶ τετράμετροι καταληκτικοί. τῆς δὲ τετάρτης στροφῆς τὰ κῶλα ἰωνικὰ ἀπὸ μείζονος ςʹ ἐπιμεμιγμένα παίωσι καὶ κρητικοῖς, LhAld

book 943a alpha ὧν τὸ αʹ, τὸ βʹ, τὸ γʹ καὶ τὸ δʹ δίμετρα καταληκτικά· τὸ εʹ δίμετρον ἀκατάληκτον· τὸ δὲ ςʹ ἡμιόλιον. ἐπὶ ταῖς ἀποθέσεσι παράγραφος, ἐπὶ δὲ τῷ τέλει δύο διπλαῖ ἔξω νενευκυῖαι. Lh

book 943a beta 〈ἀκατάληκτα πλὴν τοῦ πέμπτου καταληκτικοῦ καὶ τοῦ ςʹ ἡμιολίου. ὑφ' ὃ αἱ ἀμφοτέρωθεν ἔξω διπλαῖ. τιθέσθωσαν δὲ κἀν ταῖς ἀποθέσεσιν αἱ παράγραφοι.〉 Ald

book 943b στροφὴ κώλων ιʹ. Lh

book 943c ἐπείγετέ νυν ἐν ὅσῳ R: ἐν ὅσῳ, φησίν, ἐκ τῶν θεῶν τὰ κατὰ τὸν πόλεμον ἐκπέπνευκε καὶ λελώφηκεν, σπουδάσωμεν ἱδρύσασθαι τὴν Θεωρίαν τῶν τῆς εἰρήνης ἀγαθῶν ἀντεισαχθέντων. RV

book 944a σεσοβημένη, εὐκίνητος. RVΓLh

book 944b κατέχει τὰ ἡμέτερα πράγματα. RV

book 945a ἀντὶ τοῦ "ἡ Εἰρήνη". RVΓ

book 945b μετάτροπος Γ: ἀντὶ τοῦ RΓ "εὔκρατος". RVΓ

book 945c μετάτροπος RVΓ: ἀντὶ τοῦ R "μεταβληθεῖσα". RVΓ

book 947 εἰς ἀγαθὰ] εἰς τὰ τῆς εἰρήνης δηλονότι. VΓLh

book 948a εἶτα ἐν ἐκθέσει τοῦ ὑποκριτοῦ δίστιχος ἴαμβος τετράμετρος καταληκτικός. V

book 948b alpha

Eulogikon public reading copy · View original HTML at eulogikon.org

καὶ μάχαιραν V: ὅτι ἐκέκρυπτο ἐν τῷ κανῷ ἡ μάχαιρα ταῖς ὀλαῖς καὶ τοῖς στέμμασιν. καὶ ἐντεῦθεν κανοῦν, ἀπὸ τοῦ κανεῖν. Πλάτων Παιδαρίῳ φέρε τοῦτ᾽ ἐμοὶ δεῖξον τὸ κανοῦν RV μοι R δεῦρο· πῆ μάχαιρ᾽ ἔνι; RV

book 948b beta εἰώθασι γὰρ ἐπὶ τὸ κανοῦν τὴν μάχαιραν φέρειν κατακρύπτοντες αὐτὴν ταῖς ὀλαῖς καὶ τοῖς στέμμασιν. V

book 950a καὶ ἐν εἰσθέσει τοῦ χοροῦ ἓξ κῶλα· ὧν τὸ α′ ἰαμβικὸν δίμετρον ἀκατάληκτον· τὸ β′ ἐξ ἰαμβικῆς βάσεως καὶ τροχαϊκῆς κατάκλειδος· τὸ γ′ 〈δ′ ε′ τρία〉 ἰαμβικὰ δίμετρα ἀκατάληκτα· τὸ ς′ ἰωνικὸν ἡμιόλιον. V

book 950b λοιπὸν σπεύσατε καὶ ἐπείχθητε, πρὶν ἴδῃ Χαῖρις ὑμᾶς. V

book 951a ὡς ἢν Χαῖρις ὑμᾶς: τῶν περὶ τὰς θυσίας αὐλητῶν ἦν ὁ Χαῖρις. R

book 951b ὁ Χαῖρις αὐλητὴς ἐπὶ ταῖς θυσίαις. V

book 951a-b ἦν δὲ καὶ ἕτερος κιθαρῳδός. RV

book 956a δύο διπλαῖ καὶ ἐν ἐκθέσει στίχοι ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι ιζ′. V

book 956b οὕτω “τὴν χερνίβα”. μᾶλλον προπαροξυντέον κατὰ τὴν ἀναλογίαν. οἱ δὲ Ἀττικοὶ παροξύνουσι καὶ ἐν τραγῳδίᾳ καὶ ἐν κωμῳδίᾳ. V

book 957 τοῦτο πρῶτον ἐποίουν καθαίροντες τὸν βωμόν. RV

book 959a οὕτω διὰ τοῦ λ ὁ τὴν κωμικὴν γράψας λέξιν ἀναγινώσκει. V

book 959b γράφεται καὶ δαλίον. R

book 959c φέρε δὴ τὸ δαδίον R: τὸ ὕδωρ ἐδόκουν καθαίρειν ἀποβάπτοντες τοῦ πυρός· καθαρτικὸν γὰρ πάντων τὸ πῦρ, ὡς Εὐριπίδης Ἡρακλεῖ μέλλων δὲ δαλὸν χειρὶ δεξιᾷ φέρειν, ἐπὶ χερνίβα ὡς βάψειεν Ἀλκμήνης τόκος. RV διὸ καὶ οὐ γραπτέον, ὥς τινες, “δᾳδίον”· ἱκανὸν γὰρ τὸ Εὐριπίδου εἰς πίστιν. V

book 960 σείου σὺ ταχέως R: πρὸς τὸ ἱερεῖον λέγει. ἐσπούδαζον γὰρ ἐπισπένδοντες, ἵνα σείσῃ τὴν κεφαλὴν καὶ ἐπινεύειν τοῖς ἱερείοις δοκῇ. RV

book 962 δέον εἰπεῖν “ῥῖπτε τῶν ὀλῶν” “κριθῶν” νῦν εἶπε γενικῶς. ὀλαὶ γὰρ αἱ πρὸς θυσίαν κριθαί. V

book 967a πρὸς τὴν κριθὴν παίζει, ὅτι τὸ τῶν ἀνδρῶν αἰδοῖον κριθὴν ἔλεγον, τὸ δὲ γυναικεῖον μύρτον. R

book 967b κακεμφάτως τὸ πέος. R

book 968a τίς τῇδε: σπένδοντες γὰρ ἔλεγον “τίς τῇδε;” ἀντὶ τοῦ “τίς πάρεστιν;” εἶτα οἱ παρόντες εὐφημιζόμενοι ἔλεγον “πολλοὶ κἀγαθοί”. τοῦτο δὲ ἐποίουν οἱ σπένδοντες, ἵνα οἱ συνειδότες τι ἑαυτοῖς ἄτοπον ἐκχωροῖεν τῶν σπονδῶν. RV

book 968b τὸ “ποῦ ποτ᾽ εἰσί;” λέγει ἐν ἤθει, “ποῦ εἰσιν οἱ ἐπιφωνοῦντες;”, ἵνα αὐτοὺς ἐπιλέγῃ. ἢ ἀπιθάνως ὡς μηδενὸς ὄντος καλοῦ κἀγαθοῦ. V

book 969 τοισδὶ V: τοῖς χορευταῖς. καταχεῖ δὲ αὐτῶν τὸ ὕδωρ ἐπὶ γέλωτι καὶ οὐδενὶ ἑτέρῳ. RV

book 974 ὦ σεμνοτάτη βασίλεια: διπλῆ καὶ εἴσθεσις εἰς ἀναπαίστων περιόδους δύο, τὴν μὲν πεντεκαιτριακοντάμετρον ιθ′ κώλων, ὅτι ἔχει μονόμετρα γ′, τό τε β′ καὶ ια′ καὶ ις′, τὴν δὲ ἑξκαιτεσσαρακοντάμετρον τριῶν καὶ 〈κ′〉 κώλων ⟦ὅτι ἔχει μονόμετρα τρία⟧. V

book 981 καὶ γὰρ ἐκεῖναι R παρακλίνασαι: παρανοίξασαι. Ὅμηρος ἠμὲν ἀνακλῖναι πυκινὸν νέφος RV ἠδ᾽ ἐπιθεῖναι. V

book 982 καὶ “αὐλείας” ἔλεγον, οὐ μόνον “αὐλείων”. V

book 986 τούτων σὺ μὴ πόει R: μὴ κατὰ ταύτας ὀλίγον χρόνον ποιήσῃς ἡμᾶς ἀπολαῦσαί σου, ἀλλ᾽ εἰς τέλεον φανερὰν ἡμῖν σεαυτὴν ποίησον. RV

Eulogikon public reading copy · View original HTML at eulogikon.org

book 990a τρία 〈καὶ〉 δέκ’ ἔτη: τὸ χ, ὅτι οὐ συμφωνεῖ τοῖς χρόνοις ἃ λέγει. καὶ ἐν τοῖς Ἀχαρνεῦσί φησιν ἕκτῳ ϛ’ ἔτει προσεῖδον ἐς τὰ χωρία. ἀλλὰ καὶ ὁ Φιλόχορος ἀπὸ Πυθοδώρου, ἐφ’ οὗ ἡ ἀρχὴ τοῦ πολέμου δοκεῖ γεγενῆσθαι, μέχρι Ἰσάρχου καταριθμούμενος εἰς τὰ ιγʹ ἔτη συνάγει τοὺς χρόνους. πάλιν Θουκυδίδης κατὰ τὰς τῶν χειμώνων καὶ θερέων εἰσβολὰς τὸν πόλεμον γεγενῆσθαι λέγων οὐδὲ αὐτὸς εἰς τοῦτον τὸν ἀριθμὸν ἔρχεται, ἀλλ’ ἀπολείπεται παρὰ τὰ θʹ ἔτη. λεκτέον τοίνυν, ὅτι αὐτὸς αὑτοῦ ὁ Ἀριστοφάνης τὸ ἐνδόσιμον δέδωκε, πῇ μὲν ἀνάπαυλαν, πῇ δὲ πόλεμον γενέσθαι, ὡς μηδὲ τὴν ἀρχὴν βεβαίαν εἶναι μήτε τοῦ πολέμου μήτε τῆς εἰρήνης· ὥστε αἱ διαφωνίαι τῶν πραγμάτων εἰσὶν ἀνόμοιαι. V

book 990b τὸ χ, ὅτι οὐ συμφωνεῖ τοῖς χρόνοις. ἀπὸ γὰρ Πυθοδώρου μέχρι Ἀλκαίου θʹ ἔτη. καὶ ἐν Ἀχαρνεῦσι δὲ εἶπεν, ὅτι ϛʹ ἔτη εἰσὶν ἀφ’ οὗ ὁ πόλεμος· ἀπὸ δὲ τῆς τῶν Ἀχαρνέων διδασκαλίας γʹ ἔτη εἰσίν. οἱ δὲ ποιηταὶ πολλάκις ἀποσχεδιάζουσιν εἰς τοὺς χρόνους. V

book 990c τοῦτο ἔστι πάλιν τὸ μονόμετρον. V

book 990d βέλτιον κατὰ παράθεσιν ἀναγινώσκειν “τριακαίδεκα”. V

book 991 κορκορυγάς R: τὰς βοάς, τὰς ταραχάς, τοὺς θορύβους. RV

book 992 ἀστείως συνέθηκε τὴν λέξιν παρὰ τὸ λῦσαι τὴν μάχην. Vbis

book 993 τὰς ὑπονοίας R: ἵνα μὴ ὑπονοῶσι τὰς ἀλλήλων σπονδάς. RV

book 995 ἀντὶ τοῦ “φλυαροῦμεν”. R

book 996 μίξον δ’ ἡμᾶς R: εἰς φιλίαν RV ἄγε. V

book 997a φιλίας χυλῷ R: ὡς ἐπὶ κακουμένων. RV

book 997b χυλῷ: τῷ ῥοφήματι. RV

book 999 καὶ τὴν ἀγορὰν ἡμῖν: τουτέστιν ἀφθονίαν τῶν ὠνίων ἡμῖν παράσχες. ἁρμόδιον δὲ τοῦτο τῇ εἰρήνῃ. R

book 1000 μεγάλων σκορόδων: ὅτι τὰ σκόροδα ἐκ τῆς Μεγαρίδος, ἔφη καὶ ἐν τοῖς προειρημένοις λέγων πρῶτοι γὰρ αὐτὴν τοῖς σκορόδοις ἠλείψατε. V

book 1001a σικύων πρῴων: τὸ “πρῴων” πρὸς τὸ “σικύων”· ἐν δύο δὲ συλλαβαῖς. V

book 1001b ὡς καὶ τῶν σικύων πολλῶν ὄντων ἐν Μεγαρίδι καὶ φερομένων ἐκεῖθεν εἰς τὴν Ἀττικήν, ὡς καὶ αὐτὸς ἐν Ἀχαρνεῦσί φησιν. V

book 1001c σικύων πρῴων R: ἐν εἰρήνῃ ὄντες πολλὰ δι’ ἐπιμελείας καὶ πρῷα εἶχον. RV

book 1001d alpha ὅτι καλοὶ οἱ πρώϊμοι σικύαι, καὶ ἡ παροιμία RV δηλοῖ V ἀρχομένων σικύων καὶ ληγουσῶν κολοκυντῶν. RV

book 1001d beta οἱ πρώϊμοι σικύαι καλοὶ καὶ ἀβλαβεῖς. V

book 1001e πρῴων: τῶν πρὸ καιροῦ φαινομένων. V

book 1002 διὰ τὸ ἀηδὲς τῆς ἐργασίας. V

book 1003 κἀκ Βοιωτῶν: ὅτι ὀρνιθοτρόφος ἡ Βοιωτία, καὶ ἐν Ἀχαρνεῦσί φησιν ὡσπερεὶ χειμὼν ἦλθες ὀρνιθίας εἰς τὴν ἀγορὰν φέρων, ὅτε ἐπὶ τοῦ Βοιωτοῦ λέγει. RV

book 1005 καὶ R Κωπαΐδων: Κωπαῒς λίμνη Βοιωτίας, ἐν ᾗ μεγάλαι ἐγχέλεις γίνονται, ὡς καὶ ἐν Ἀχαρνεῦσί φησι πρέσβειρα πεντήκοντα Κωπαΐδων κορᾶν. RV

book 1007a alpha ὀψωνοῦντας: εὐκαίρως RV τὸ “ὀψωνοῦντας” R προσέθηκε πρὸς ἀντιδιαστολὴν τοῦ πολέμου, ἐν ᾧ δυσχερῶς ὠψώνουν ἀπησχολημένοι ἐν τοῖς θορύβοις αὐτοῦ καὶ τοῖς κακοῖς. RV

book 1007a beta τὸ “ὀψωνοῦντας” προσέθηκε πρὸς ἀντιδιαστολὴν τοῦ πολέμου. καὶ γὰρ τότε ἀνάγκη ἦν εἰς τὸ συνιέναι αὐτούς, εἴ ποτέ τις ταραχὴ γένοιτο. V

book 1007b κατὰ εἴλας, τουτέστι κατὰ συστήματα, συστρέφεσθαι. V

book 1007c καὶ ἐν Ἀχαρνεῦσί φησι μηδὲ γὰρ θανών σου χωρισθείην ποτέ. V

book 1008a Μορύχῳ Τελέᾳ R: καὶ τούτους ἀεὶ ἀπεῖναι βούλεται RV τῶν ὄψων R διὰ τούτου αὐτοὺς κολάζων ὡς γαστριμάργους, ὥς φησιν ἐν τοῖς Ἀχαρνεῦσιν. νῦν δ' οὐκ οἶδα, ὅπως τὸ ἐναντίον φησίν. ἴσως οὖν τῇ παρουσίᾳ τούτων Μελάνθιον λυπῆσαι βούλεται ὄντα καὶ αὐτὸν λίχνον. ἦν δὲ τραγῳδίας ποιητής, ὡς προείρηται. RV

book 1008b 〈ὀνόματα κύρια. οὗτοι ἐπὶ μαγγανείᾳ διεβέβληντο.〉 Su. III 412, 25

book 1008c Γλαυκέτῃ] καὶ οὗτος λίχνος. R

book 1009a τένθαις V: ἀντὶ τοῦ R “λίχνοις”. τένδειν γὰρ τὸ ἐσθίειν· ὅτ' ἀνόστεος ὃν πόδα τένδει. RV Ἡσίοδος. R

book 1009b οὓς ἡμεῖς σιναμώρους. καὶ παρ' Ἡσιόδῳ τινὲς ὀρθῶς δοκοῦσι γράφειν ὅτ' ἀνόστεος ὃν πόδα τένθει διὰ τοῦ θ. V

book 1011 ὀτοτύζειν] θρηνεῖν. RV

book 1012 ἐκ Μηδείας Γ: μήποτε ἐκ τῆς Εὐριπίδου Μηδείας παραγράφει ἐκεῖνα ὢ δύστηνος ἐγὼ μελέα τε πόνων 〈...〉 πῶς ἂν ὀλοίμαν; RVΓ οἱ δὲ αὐτοῦ τοῦ Μελανθίου φασὶν εἶναι Μήδειαν, ἐξ ἧς ταῦτα. VΓ

book 1014a λοχευομένας RΓ: καὶ ἐν τοῖς Ἀχαρνεῦσιν ἔφαμεν τοὺς μαγείρους μετὰ τεύτλων ἕψειν τὰς ἐγχέλεις. ἔπαιξε δὲ εἰπὼν “λοχευομένας” ἀντὶ τοῦ “ἑψομένας”. RVΓ

book 1014b ἡδίστη γὰρ ἡ ἔγχελυς ἐν τεύτλοις VΓ ἐστίν. Γ

book 1015 τοὺς δ' ἀνθρώπους ἐπιχαίρειν Γ: τοὺς ὁρῶντας ἐπιχαίρειν αὐτῷ θρηνοῦντι. RVΓLh

book 1016a διπλῆ καὶ ἔκθεσις εἰς ἰάμβους τριμέτρους ἀκαταλήκτους ζʹ. V

book 1016b σύστημα κατὰ περικοπήν. Lh

book 1016c ὦ Γ πολυτιμήτ': ὅτι ἐξεβλήθη τὸ η. VΓ

book 1019-1022 ἐν γὰρ τῇ τῶν 〈συν〉οικεσίων ἑορτῇ οἱ μέν φασιν Εἰρήνῃ θυσίαν τελεῖσθαι, ᾗ ὁ βωμὸς οὐχ αἱματοῦται, οἱ δὲ ἑστίασιν.VΓ

book 1019-1020 οὐχ ἥδεται δήπουθεν RΓ: ταῦτα πρὸς τὸ ἔθος· φασὶ γὰρ τῇ τῶν συνοικίων ἑορτῇ θυσίαν τελεῖσθαι Εἰρήνῃ, τὸν δὲ βωμὸν μὴ αἱματοῦσθαι, Ἑκατομβαιῶνος μηνὸς ἕκτῃ ἐπὶ δέκα. τινὲς δέ φασιν ἐκ τῆς παρούσης αἰτίας οὕτως αὐτοὺς αὐτῇ θύειν αἵματος αὐτοὺς ἀπαλλαξάσῃ. VΓ

book 1020a alpha καὶ τοῦτο πρὸς σύγκρισιν τοῦ πολέμου, ὃς αἵμασι χαίρει. RVΓ

book 1020a beta πρὸς σύγκρισιν τοῦ πολέμου καλῶς ἔφησε μὴ χαίρειν τὴν Εἰρήνην σφαγαῖς· μόνοι γὰρ οἱ πολέμιοι αἵματι καὶ φόνοις χαίρουσιν. VΓ

book 1020b καὶ Γ ἰδίως ἀναιμωτὶ Εἰρήνῃ θύουσιν. VΓ

book 1022a χ' οὕτω τὸ πρόβατον RΓ: διὰ τὸ μὴ θύεσθαι ἐν τῷ θεάτρῳ, ἀλλὰ τὸν χορηγὸν τῷ δοκεῖν θύειν ἀποκερδαίνοντα τὸ θῦμα. RVΓ

book 1022b τῶν γὰρ ἐντοσθίων αἰρομένων παρὰ τῶν θυόντων τὸ λοιπὸν σῶμα σωθήσεται τῷ ἱερεῖ, ἐπὰν θύσωσιν. RVΓ

book 1022c τῷ χορηγῷ σώζεται Γ: ἤτοι ὅτι τῶν σπλάγχνων καὶ τῶν ἐντοσθίων ὑφαιρουμένων δοκοῦσι μέρος τι τοῦ ἱερείου κερδαίνειν οἱ θύοντες VΓ

book 1022d ὡς ἄρα τότε σώζεται VΓ

book 1023a στροφὴ κώλων γʹ. Lh

book 1023b σέ τοι] γρ. σε δή. V

Eulogikon public reading copy · View original HTML at eulogikon.org

book 1024 σχίζας RΓ δευρί R: σχίζας RΓ κυρίως ἔλεγον οἱ παλαιοὶ τὰ ἐπὶ ταῖς θυσίαις τιθέμενα ξύλα, ὡς καὶ Ὅμηρος καῖε δ’ ἐπὶ σχίζης RVΓ ὁ γέρων. RΓ

book 1025 —̇ Lh

book 1026a τὸ φρύγανον τίθεσθαι R: τοῦτό φησιν, ἐπεὶ ὑπέβαλε φρύγανα πρὸς τὸ ἀνάψαι, ὡς οἱ μάντεις. αὐτοὶ γὰρ ἑαυτοῖς καὶ τὰ φρύγανα τιθέασι πρὸς τὴν ἐπιστήμην ἑαυτῶν. RVΓ

book 1026b μαντικῶς τὸ φρύγανον Γ: οἱ γὰρ ἀπὸ τοῦ πυρὸς μαντευόμενοι τὰ φρύγανα ὑποτιθέασιν εἰς τὸ ἐξάψαι κατὰ τὴν ἐπιστήμην τὴν ἑαυτῶν. VΓ

book 1027a στροφὴ κώλων δʹ. Lh

book 1027b τί γάρ σε πέφευγ’ R: τί γὰρ οὐ ποιεῖς ὅσα χρὴ τοὺς ἐπιστήμονας; RΓLh

book 1029 ἀντὶ τοῦ “ὁπόσα χρή”. R

book 1030 εὐπόρῳ πρὸς τὸ ἐπινοεῖν. R

book 1031a Στιλβίδην ΓLh: ὁ Στιλβίδης εὐδόκιμος καὶ περιβόητος μάντις τῶν τοὺς παλαιοὺς χρησμοὺς ἐξηγουμένων. ἀστειότατα δὲ τοῦτο παρέπλεξεν. VΓLh

book 1031b τὴν φλόγα, παρὰ τὸ στίλβειν· ἅμα δὲ καὶ παρὰ τὸν μάντιν VΓLh τὸν Lh Στιλβίδην, ὅν φησι Φιλόχορος ἀκολουθῆσαι ἐν Σικελίᾳ, ἡνίκα ἐπολέμουν Ἀθηναῖοι καὶ εἰς Σικελίαν ἐστράτευον. VΓLh μέμνηται δὲ αὐτοῦ καὶ Εὔπολις Πόλεσιν ὡς οὖν τίν’ ἔλθω δῆτά σοι τῶν μάντεων; πότερος ἀμείνων, Ἀμφοτερὸς ἢ Στιλβίδης; VΓ

book 1031c πιέζει Γ: ἀντὶ τοῦ R “λυπεῖ”. RΓLh

book 1031d ὡς λοιπὸν ἐκείνου ἀπορουμένου διὰ τὸ τοῦτον εὐδοκιμῆσαι. RΓ

book 1032a καὶ παιδὸς οὐδὲν δεήσει Γ: ἐμαυτῷ, φησίν, ὑπηρετήσω, καὶ RVΓ χρεία οὐκ ἔσται παιδός. RVΓLh φιλοτιμεῖται δὲ περὶ τὰς ὑπηρεσίας κατὰ πάντα τὸν Στιλβίδην πλεονεκτῶν, καὶ θύων καὶ ὑπηρετῶν. RVΓ

book 1032b φιλοτιμεῖται περὶ τὰς ὑπηρεσίας, ἵνα κατὰ πάντα τὸν Στιλβίδην πλεονεκτεῖν δοκῇ, καὶ θύων καὶ ὑπηρετῶν. ἐγὼ οὖν, φησίν, οἴσω καὶ τράπεζαν, ὡς μὴ δεῖσθαι παιδός. Γ

book 1033 στροφὴ κώλων ϛʹ. Lh

book 1038 < Lh

book 1039a τὼ μηρῶ λαβών] διπλῆ καὶ ἔκθεσις εἰς ἰάμβους τριμέτρους ἀκαταλήκτους κδʹ. V

book 1039b ταυτὶ δέδραται: κορωνὶς εἰσιόντων ἑτέρων ὑποκριτῶν. οἱ δὲ στίχοι εἰσὶ πζʹ· ὧν οἱ μὲν κδʹ ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι, οἱ ἑξῆς μαʹ δακτυλικοὶ ἑξάμετροι. ἑξῆς τούτων κῶλον ὅμοιον LhAld δίμετρον Lh ἐκ σπονδείων. οἱ ἑξῆς δέκα δακτυλικοὶ LhAld ὅμοιοι Lh ἑξάμετροι. LhAld

book 1039b alpha οἱ δὲ ἔτι ἑξῆς ιβʹ ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι· Lh ὧν τελευταῖος

book 1039b beta 〈μεθ’ οὓς ἰαμβεῖα ιβʹ·〉 Ald

book 1039b οὐκ ἀποπετήσει θᾶττον εἰς Ἐλύμνιον ἐπὶ ταῖς ἀποθέσεσι παράγραφος. ἐπὶ τῷ τέλει κορωνίς. LhAld

book 1039c ἀντὶ τοῦ “δέδαρται”. Ὅμηρος περὶ δὲ δρατὰ σώματα νήει. ὁ δὲ λόγος· ταῦτα πάντα παρεσκεύασται καὶ πέπρακται. V

book 1040 θυλήματα ΓLh: τὰ τοῖς θεοῖς ἐπιθυόμενα ἄλφιτα. ἐπιρραίνεται δὲ οἴνῳ καὶ ἐλαίῳ. VΓLh καὶ Lh Τηλεκλείδης Στερροῖς ὦ δέσποθ’ Ἑρμῆ, κάπτε τῶν θυλημάτων. VΓLh

book 1042 ἐπισχεῖν] βραδύνειν. Γ

book 1044 δάφνῃ τις ἐστεφανωμένος Γ: οἱ ἱερεῖς καὶ οἱ μάντεις δάφνῃ ἐστεφανοῦντο εἰς γνώρισμα τῆς τέχνης. VΓLh

book 1045 ὡς ἀλαζὼν Γ: ὡς ἀπὸ τῆς ὄψεως ἀλαζὼν φαίνεται. VΓLh

book 1046 Ἱεροκλέης ΓLh: οὗτος μάντις ἦν καὶ χρησμολόγος τοὺς προγεγενημένους χρόνους ἐξηγούμενος. ὡς ἀφυῆ δὲ καὶ οὐκ ἀκριβῆ μάντιν αὐτὸν κωμῳδεῖν βούλεται· καὶ ὅρα, πῶς καθαρῶς. ἐκείνου γὰρ εἰπόντος· ὅτι μάντις τις πρόεισιν, ὁ ἕτερος οὐ συγκατέθετο, ἀλλ' ἔφησεν· οὐ μὰ Δί', ἀλλ' Ἱεροκλῆς ἐστιν, VΓLh ὡς ἀπὸ τοῦ ὀνόματος αὐτοῦ γινωσκομένου μᾶλλον ἢ τῆς τέχνης. Vbis ΓbisLh καὶ Εὔπολις Πόλεσιν Ἱερόκλεες, βέλτιστε χρησμῳδῶν ἄναξ. VΓLh

book 1047 οὑ'ξ Ὠρεοῦ Γ: διαβάλλει αὐτὸν ὡς οὐ πολίτην, ἀλλ' Εὐβοέα. διὸ δηλοῖ, ὅτι ὡς ξένος οὐκ εὐνοεῖ τῇ Εἰρήνῃ. Ὠρεὸς δὲ Εὐβοίας πόλις, ἣν Ὅμηρος Ἱστιαίαν φησίν. VΓ

book 1048 δῆλός ἐσθ' οὗτός γ' ὅτι Γ: προείπομεν γὰρ περὶ Εὐβοέων ὡς ἂν ἧσσον προθυμουμένων τῇ εἰρήνῃ. ΓLh

book 1050 κατὰ τὴν κνῖσαν Γ: ὡς διὰ προφάσεως τοῦ σχήματος τῆς μαντείας ἐπεισπηδῶντος τοῦ Ἱεροκλέους καὶ μετέχοντος τῶν εὐωχιῶν. VΓLh

book 1051 μὴ νῦν δρᾶν δοκῶμεν Γ: μὴ προσποιησώμεθα αὐτὸν ἑωρακέναι, μηδ' αὐτῷ προσλαλήσωμεν, ἵνα ἀπορηθεὶς παρέλθῃ μηδὲν ἐνοχλήσας ἡμῖν. VΓ

book 1052 τίς ἡ θυσία Γ: Ἱεροκλῆς ἐπιστὰς ἄκλητος VΓLh

book 1052alpha περιεργάζεται ταῦτα καί φησι· τίς ἡ θυσία καὶ τίνι τῶν θεῶν; Lh

book 1052beta καὶ ταῦτα περιεργαζόμενος· τίνι οὖν, φησί, τῶν θεῶν; VΓ

book 1053a ὄπτα σὺ σιγῇ ΓLh: ἀπαλλαγῆναι αὐτὸν ποίει μὴ προσέχων μηδὲ ἀκηκοέναι προσποιούμενος. VΓLh

book 1053b οἷον μηδὲν ἀποκρίνῃ πρὸς τὸ ἐρωτηθέν. VΓLh

book 1053c ἐπὶ τοῦ βωμοῦ τὰ σπλάγχνα ὄπτα VΓLh ἐν σιγῇ. Lh

book 1053d ἀπὸ τῆς ὀσφύος τὸν ὀβελίσκον ἀπάγαγε. VΓLh

book 1053e οἷον πρόσεχε, μὴ ἅψῃ αὐτῆς· ταύτῃ γὰρ μαντεύονται. VΓLh

book 1053f ἀναχώρει ἀπὸ τῶν ἱερείων καὶ ἀφίστασο, ΓLh φησίν. Γ

book 1054a ἡ κέρκος ποιεῖ VΓ: ἡ οὐρὰ καλὰ σημαίνει. VΓLh

book 1054b ἡ κέρκος ποιεῖ Lh: ἔθος εἶχον τὴν ὀσφῦν καὶ τὴν κέρκον ἐπιτιθέναι τῷ πυρί, καὶ ἐξ αὐτῶν σημείοις τισὶ κατανοεῖν, εἰ εὐπρόσδεκτος ἡ θυσία, καὶ ἄλλα τινὰ πρὸς τὰ νεύματα σημεῖα λαμβάνειν, περὶ ὧν τὴν θυσίαν ἐποίουν. VΓLh

book 1056a ὁ Ἱεροκλῆς ταῦτα σημαίνει. ΓLh

book 1056b ἀπάργματα VΓ: τὰς ἀπαρχάς, ἃς εἰώθασιν οἱ ἱερεῖς λαμβάνειν. VΓLh

book 1058 πολλὰ πράττεις Γ: οἷον πολλὰ περιεργάζῃ καὶ πολυπραγμονεῖς. VΓLh

book 1060a καὶ τοῦτο Ἱεροκλέους. ΓLh

book 1060b ἡ γλῶττα χωρὶς ΓLh τέμνεται Γ: καὶ τοῦτο παροιμιακὸν ἀπὸ Ὁμήρου ἀλλ' ἄγε τάμνετε μὲν γλώσσας, ὥς φησι Καλλίστρατος. VΓLh

book 1060c πρὸς τὸ ἔθος. 〈...〉. Lh

book 1061 ἀλλ' οἶσθ' ὃ δρᾶσον] ἀλλ' οἶσθ' ὃ δράσεις. ΓLh

book 1063a alpha προειρήκαμεν, ὅτι χρησμολόγος ὁ Ἱεροκλῆς· διόπερ νῦν χρησμοῦ τινος αὐτὸν προσάγει μνημονεύοντα. VΓLh

book 1063a beta μιμεῖται τοὺς χρησμολόγους· ἔστι γὰρ καὶ ὁ Ἱεροκλῆς χρησμολόγος· διόπερ νῦν χρησμοῦ τινος μνημονεύει. VΓLh

book 1063b

ἐς κεφαλήν σοι ΓLh: ὡς καταρασαμένου αὐτοῦ καὶ βλασφημήσαντός φησιν· εἰς τὴν κεφαλὴν VΓLh σου Lh ἔλθοι τὸ δεινόν· τουτέστι σεαυτῷ μάντευσαι ὅπερ εἶπας δυσχερές. VΓLh

book 1064a οἵτινες διὰ τὴν ἀβουλίαν τὴν ἑαυτῶν τῆς τῶν θεῶν οὐ συνίενται προνοίας. VΓLh

book 1064b οὐκ ἀΐοντες: οὐ νοοῦντες. Γ

book 1065a χαροποῖσι: φοβεροῖς. ΓLh

book 1065b πιθήκοις: τοῖς Λακεδαιμονίοις. ΓLh

book 1065c ἀντὶ τοῦ εἰπεῖν "λέουσιν". Γ

book 1066a αἰβοῖ βοῖ ΓLh: παρεπιγραφή· ἀκούσαντες γὰρ τοῦ χρησμοῦ ἐγέλασαν. VΓLh

book 1066b γέλωτος γάρ ἐστι τοῦτο ⟦τὸ⟧ μίμημα. ΓLh

book 1067a καὶ κέπφοι Γ: εὐήθες ζῷον ὁ κέπφος, οὗ μέμνηται καὶ Νίκανδρος καὶ Ἄρατος περὶ τῶν διοσημιῶν διαλεγόμενοι VΓLh καὶ Καλλίμαχος ἐν τοῖς Ἰάμβοις. VΓ ἐκ δὲ τῆς θαλάσσης ζῆν αὐτὸν λέγουσιν ἐσθίοντα τὸν ἀφρόν. εἶναι δὲ αὐτὸν πολὺν μὲν ἐν τοῖς πτεροῖς, ὀλίγον δὲ ἐν τοῖς κρέασιν. καὶ κεκραγέναι ὠδίνοντα· ὅθεν γενέσθαι τὴν παροιμίαν "κέπφος ὠδίνει" ἐπὶ τῶν ἐπαγγελλομένων μὲν μεγάλα, μηδὲν δὲ ἄξιον τῆς ἐπαγγελίας ποιούντων. VΓLh

book 1067b κέπφοι γὰρ οἱ κοῦφοι VΓ ἀπὸ τῶν ὀρνέων, Γ ὅθεν καὶ τοὺς ἐλαφροὺς ταῖς φρεσὶ κέπφους καλοῦμεν. VΓ

book 1067c τρήρωνες Γ: οὐκ ἐπὶ τοῦ κέπφου, ἀλλὰ καθ' αὑτό. VΓ

book 1067d ἀλωπεκιδεῦσι] τοῖς δολίοις· ἀπὸ τοῦ ζῴου. Γ

book 1068 ὧν δόλιαι ψυχαὶ Γ: ἀεὶ τοὺς Λακεδαιμονίους εἰς τοῦτο κωμῳδοῦσιν. καὶ Εὐριπίδης Σπάρτης ἔνοικοι, δόλια βουλευτήρια. VΓ

book 1069a τοῦτό φησι πρὸς Ἱεροκλέα. VΓ

book 1069b θερμὸς ὁ πλεύμων Γ: κεκαυμένος. VΓLh

book 1069c ἐσθίοντος τὰ σπλάγχνα θερμὰ ὄντα. VΓ

book 1069d 〈ἀττικῶς διὰ τοῦ λ ὁ πλεύμων.〉 Ald

book 1070 εἰ γὰρ μὴ νύμφαι Γ: αἱ ἔφοροι τῆς μαντικῆς νύμφαι. οὕτω δὲ εἶπεν, ὡσεὶ ἔλεγεν· ἐξεπαίδευον. VΓLh

book 1071 Βάκις Γ: χρησμολόγος ὁ Βάκις. Βάκιδες δὲ τρεῖς, ὧν πρεσβύτατος ὁ Βοιωτός, δεύτερος Ἀττικός, τρίτος δὲ ὁ Ἀρκάς. VΓ

book 1072a βακίζων: εἰ μὴ παύσαιο Γ μεμνημένος Βάκιδος. ΓLh

book 1072b Βάκιδος μνημονεύων. Γ

book 1073 δέσμ' ἀναλῦσαι] δεδεμένη γὰρ ἦν ἐν τῷ πολέμῳ. Γ

book 1074 τοῖς ἁλσί γε ΓLh: ἐπίτηδες ἀποκεκοφὼς τὸν λόγον λέγει. φησὶ δὲ τὰ κρέα χρῆναι πρότερον τοῖς ἁλσὶ πασθῆναι τὰ ὠπτημένα. VΓLh

book 1076a ὑμεναιοῖ Γ: εἰς γάμους ἄγοιτο. VΓLh

book 1076b τὸ ἀδύνατον εἶπεν. VΓLh 〈παρὰ τὸ〉 ὡς οὐκ ἔστι λέουσι καὶ ἀνδράσιν 〈ὅρκια πιστά, οὐδὲ λύκοι τε καὶ ἄνδρες ὁμόφρονα θυμὸν ἔχουσιν.〉 Γ

book 1076c —Lh

book 1077 ὡς ἡ σφονδύλη ΓLh: σίλφη τίς ἐστιν ἡ σφονδύλη βδέλλη προσομοία, δυσώδης ὄντως. ἄρχεται δὲ ἀδιανόητα λέγειν τοὺς χρησμῳδοὺς μιμούμενος καὶ τὰ τῶν χρησμῶν λοξά. VΓLh

book 1078a ἀδιανόητον καὶ τοῦτο. VΓLh

Eulogikon public reading copy · View original HTML at eulogikon.org

book 1078b ταῦτα πάντα ἐπίτηδες ἀδιανοήτως ἔφρασεν τὸ ἀσαφὲς τῶν χρησμῶν μιμούμενος. ἐπεὶ καὶ παρ' ἱστορίαν λελέχθαι δοκεῖ· οὐδὲν γὰρ τῶν ζῴων ὅτι μὴ κύων VΓLh μόνον V σπεύδουσα τὰς ὠδῖνας τοὺς κύνας τίκτει τυφλούς. VΓLh

book 1078c χ' ἡ κώδων Γ: παρὰ τὸ κραυγαστικὸν ἡ κύων τὸ ζῷον. VΓLh

book 1078d "κώδων" εἶπεν, ὅτι λάλον τὸ ζῷον. VΓLh

book 1078e τινὲς τὸ "ἀκαλανθὶς" ὑφ' ἕν. VΓ

book 1078f ἀκαλανθὶς: εἶδος ὀρνέου. VΓLh

book 1078g ταύτας τὰς ἀκαλανθίδας ΓLh τινὲς βασιλικοὺς ὀνομάζουσιν. VΓLh

book 1078h ἀκαλανθὶς Γ: ὄνομα κυνὸς ἐπισήμου· οἱ δὲ ὀρνέου. VΓ

book 1078i τυφλὰ τίκτει Lh: παρὰ τὴν παροιμίαν "ἡ κύων σπεύδουσα τυφλὰ τίκτει". VΓLh

book 1078j ὁ νοῦς τοιοῦτος· ὡς φυσικῶς ἀπαράλλακτα τὰ εἰρημένα, οὕτως ἀμετάτρεπτα τὰ λεγόμενα. διό, φησί, τὴν εἰρήνην οὐκ ἔδει γενέσθαι. VΓLh

book 1079 〈τουτάκι: ἐν ὅσῳ δέ.〉 Su. IV 577, 8

book 1081a διακαυνιάσαι Γ: ἢ διακληρώσασθαι, πότεροι VΓ ἐξ ἡμῶν τέλεον διαφθαρήσονται. καῦνον γὰρ τὸν κλῆρόν φασιν. καὶ ἐν ἄλλοις πόσος ἔσθ' ὁ καῦνος; τὸ δὲ λεγόμενον τοιοῦτόν ἐστιν· οὐκ ἐχρῆν ἡμᾶς, φησί, κατατεθεῖσθαι τὸν πόλεμον οὐδὲ ἐσπεῖσθαι, ἀλλὰ προσμεῖναι, ἕως ἂν εἷς ἐξ ἡμῶν ἄρδην ἀπόληται; VΓLh

book 1081b διακαυνιάσαι Lh: καυνιάσαι VΓ κληρωθῆναι. VΓLhbis καῦνον γὰρ λέγουσι τὸν κλῆρον. V ὁ δὲ νοῦς· ἔδει ἡμᾶς μὴ εἰρήνην ἄγειν, ἀλλὰ κληρωθῆναι ἐπὶ τῷ γνῶναι, τίνες ἡμῶν δυστυχήσουσι καὶ τῶν πολεμίων; καὶ Κρατῖνος Πυτίνῃ ἀπὸ προτέρου τὸν καῦνον ἀριθμήσεις. VΓ

book 1081c ἀντὶ τοῦ "κληρωθῆναι" ὡς τῶν Καυνίων μάλιστα χρωμένων· ὡς καὶ σιφνιάζειν καὶ λεσβιάζειν. VΓ

book 1082 κοινῇ τῆς Ἑλλάδος: ἐξ ἀρχῆς γὰρ οἱ Λακεδαιμόνιοι τῆς γῆς ἐκράτουν, οἱ δὲ Ἀθηναῖοι τῆς θαλάσσης. ΓLh

book 1083a 1083] οὔτε τοὺς Λακεδαιμονίους δηλονότι ὀρθὰ φρονεῖν. Lh

book 1083b —Lh

book 1084a οὔποτε δειπνήσεις: ὅτι καὶ οἱ χρησμολόγοι μετεῖχον τῆς ἐν πρυτανείῳ σιτήσεως, δῆλον ἐκ τοῦ Λάμπωνος, ὃς τούτου ἠξίωτο. φησὶν οὖν· οὐκέτι ἔσται πόλεμος. τούτου γὰρ μὴ ὄντος οὐδὲν ἐλάμβανεν οὗτος ἐκ τοῦ δημοσίου· ἐπὶ γὰρ τοῦ πολέμου χρεία τῶν μάντεων. VΓ

book 1084b (1) 1084] ὅτι καὶ οἱ χρησμολόγοι μετεῖχον τῆς ἐν πρυτανείῳ σιτήσεως. Lh (2) οὔποτε δειπνήσεις: οὐκ ἔσται, φησί, πόλεμος. τούτου δὲ μὴ ὄντος οὐδὲν ἐλάμβανον οἱ μάντεις ἐκ τοῦ δημοσίου· ἐπὶ γὰρ τοῦ πολέμου χρεία τῶν μάντεων. καὶ δῆλον ἐκ τοῦ Λάμπωνος, ὃς τῆς ἐν πρυτανείῳ μετεῖχε σιτήσεως. Lh

book 1085 ἐπὶ τῷ πραχθέντι] ἐπὶ τῷ γενέσθαι εἰρήνην. ΓLh

book 1086a τὸν τραχὺν ἐχῖνον VΓ: οὐδὲ ἡμεῖς VΓLh δηλονότι Lh φιλίαν πρὸς Λακεδαιμονίους. VΓLh

book 1086b κάλλιστα πάμπαν τὸ εἰρημένον εἰς τὸ αὐτῶν μετήνεγκε πρόσωπον. οὐκοῦν, φησίν, VΓ οὐδὲ Γ ἡμᾶς πείσαις ἄν ποτε μεταδοῦναί σοι τινὸς οὐδ' ἠπίους σοι γεγονέναι, ὥσπερ οὐκ ἄν ποτε λεῖος ὁ τραχὺς ἐχῖνος γένηται. VΓ

book 1086c —Lh

book 1090 ὡς οἱ μὲν] ἀστείως πάνυ παρέπλεξε τὰ Ὁμήρου. ΓLh

book 1091 ἱδρύσανθ' ἱερείῳ] οὐ χύτραις, ὡς ἄνω ἔλεγεν. ΓLh

book 1093 ὁδὸν ἡγεμόνευον] τῆς θυσίας ἠρξάμην. Γ

book 1094a κώθωνα: διὰ τὸ διηπορῆσθαι τὸν μάντιν καὶ ἐκ τῆς θυσίας αἰτεῖν ταύτης ἀποκερδῆσαι, ἀλλὰ μὴ δὴ σπονδῆς μετασχεῖν, τοῦτο ἔπαιξεν. ΓLh

book 1094b "κώθωνα" λέγει τὸν νῦν λεγόμενον κύαθον. εἶδος ποτηρίου. Γ

book 1094c κώθωνα: νῦν τὸ ποτήριον, ἀλλαχοῦ δὲ κάνθαρον. VΓLh

book 1095a τὰ ἔπη φησὶ ταῦτα μὴ ἐπιγινώσκειν, μόνα δὲ εἰδέναι τὰ σιβύλλεια. VΓLh

book 1095b Σίβυλλα VΓ: οὐ γὰρ κεῖται ταῦτα παρὰ Σιβύλλῃ VbisΓbisLh τῇ χρησμολόγῳ. VLh

book 1098 ἐπιδημίου VΓ: τὸ "ἐπιδημίου" οὐκ ἔστι πρὸς τὰ προκείμενα—πρὸς ἀλλοχώρους γὰρ ἦν ὁ πόλεμος—ἀλλὰ μᾶλλον πρὸς τὸ "πολέμου ἔραται". εἰ μὴ ἄρα τῇ τῶν Ἑλλήνων ὀνομασίᾳ ἐπιδήμιος δόξει Λακεδαιμονίοις καὶ Ἀθηναίοις ὁ πόλεμος. VΓLh

book 1101a ὡς οὗτος φοβερὸς VΓ τοῖς σπλάγχνοις V: ἀντὶ τοῦ εἰπεῖν "ὁ ἴκτινος"· χαλεπὸς γὰρ οὗτος τοῖς σπλάγχνοις. VΓLh

book 1101b ὡς οὗτος φοβερὸς Lh: εἰώθασι γὰρ οἱ μάντεις μετὰ τὴν ἔκβασιν τῶν πραγμάτων λέγειν· ὅτι προῄδειν τοῦτο ἐσόμενον. πρὶν δὲ γενέσθαι οὔτε προΐσασιν οὐδὲν οὔτε λέγουσιν. VΓLh

book 1103a βαλανεύσω VΓ: διακονήσω, ὑπουργήσω. VΓLh

book 1103b βαλανεύσω Lh: ἐγχέω ἐμαυτῷ τῶν σπονδῶν. ἀπὸ τῶν ἑαυτοῖς ἐπιχεόντων ὕδωρ, ἢ τὰς βαλάνους κρυπτόντων τῷ πυρί. VΓLh

book 1103c κυρίως ἐπὶ 〈τοῦ〉 τὰς βαλάνους ὀπτᾶν· νῦν δὲ ἁπλῶς ὀπτεύσω. V

book 1104a σπονδὴ σπονδή] παρεπιγραφή. ΓLh

book 1104b ἐν εἰσθέσει κωλάριον δύο σπονδείων. ΓLh

book 1105 ἔγχει δὴ κἀμοὶ: καὶ ἐν ἐκθέσει ἐπικοὶ ἄλλοι ι′. V

book 1109a πρόσφερε τὴν γλῶτταν ΓLh: κἀκ τούτου δηλοῖ, ὅτι ἰδίᾳ τετμημένη προσεφέρετο ἡ γλῶττα παρὰ τῶν παλαιῶν. VΓLh

book 1109b ἀπένεγκε: ἀπόπεμπε. ΓLh

book 1109c ἤτοι μὴ γευσαμένην τῶν σπλάγχνων μηδὲ μετασχοῦσαν τῆς σπονδῆς ὡς βλάσφημα καὶ πονηρὰ μαντευομένην. VΓLh

book 1112a πρίν κεν λύκος οἶν ὑμεναιοῖ Γ: ἀντεμπαίζουσιν αὐτῷ VΓ αὐτοὺς τοὺς στίχους ἀποκρινόμενοι πρὸς αὐτὸν κατὰ τὰς ἀξιώσεις αὐτοῦ, οὓς ὀλίγῳ πρότερον αὐτὸς εἶπεν οὐκ ἐπιτρέπων ἤδη τὴν εἰρήνην γενέσθαι. VbisΓ

book 1112b παρὰ τὸ ἀπ' αὐτοῦ εἰρημένον. V

book 1113 ἄλλως ὦ τᾶν Γ: ἀντὶ τοῦ "μάτην"· οὐ γὰρ πείσεις. VΓLh

book 1114 —̇ Lh

book 1115a συσπλαγχνεύετε Γ: συγγεύεσθε τῶν σπλάγχνων. ΓLh

book 1115b ※ Lh

book 1116 τὴν Σίβυλλαν] τὰ τῆς Σιβύλλης. Γ

book 1118-1119 ἀλλ' ἁρπάσομαι ΓLh: παρεπιγραφή· ταῦτα γὰρ εἰπὼν χλευάζει καὶ ἀναιδῶς ἁρπάζει. καὶ ἐπιδραμόντες κατέλαβον καὶ ἐτύπτησαν. VΓLh

book 1119a τὸν Βάκιν: τὸν Βάκιδος χρησμοὺς λέγοντα. ΓLh

book 1119b τυπτόμενος λέγει ὁ Ἱεροκλῆς VΓLh "μαρτύρομαι". ΓLh

book 1120a τένθης] λίχνος καὶ γαστρίμαργος. VΓ

book 1120b κἀλαζὼν] ψεύστης. Γ

book 1122a τῶν κῳδίων] τὰ τῶν Γ προβάτων δέρματα. VΓ

book 1122b τουτονί. Γ

book 1123a ἃ ’λάμβαν’ αὐτὸς ΓLh: ὡς τῶν μάντεων ἐξαπατώντων καὶ οὐ δεόντως κερδαινόντων καὶ λαμβανόντων τὰ κώδια. VΓLh

book 1123b ἐκβολβιῶ: ἐξορύξω. ἀπὸ τῶν τοὺς βολβοὺς χαμόθεν ἐκβαλλόντων ἡ μεταφορά· ὑπὸ γῆς γὰρ ὄντες κἀκεῖνοι ὀρύσσονται. VΓLh

book 1125 ἐξ Ὠρεοῦ Γ: κόρακα εἶπεν, ἐπειδὴ ἥρπαξεν. VΓLh

book 1126a Ἐλύμνιον: Καλλίστρατός φησι τόπον Εὐβοίας τὸ Ἐλύμνιον. Ἀπολλώνιος δὲ ναόν φησιν εἶναι πλησίον Εὐβοίας. νυμφικὸν δὲ αὐτό τινές φασιν, ὅτι ὁ Ζεὺς τῇ Ἥρᾳ ἐκεῖ συνεγένετο. μέμνηται καὶ Σοφοκλῆς πρὸς πέτραις Ἐλυμνίαις· καὶ ἐν Ναυπλίῳ νυμφικὸν Ἐλύμνιον. VΓ

book 1126b Lh

book 1127a ἥδομαί γ’ ἥδομαι: κορωνίς. εἰσελθόντων τῶν ὑποκριτῶν ὁ χορὸς μόνος καταλιπεὶς διαπεραίνεται συζυγίαν 〈ἀν〉 ομοιομερῆ τριαδικὴν οὐ πυκνῶς γενομένην. αἱ πλεῖσται ἐπιρρηματικαὶ δυαδικαί εἰσιν, αὕτη δὲ ἔχει μελικὴν μὲν πρώτην ιγʹ κώλων, στιχικὴν δὲ ιςʹ στίχων, ᾧ μάλιστα φιληδεῖ Ἀριστοφάνης, καὶ ὑστέραν τρίκωλον. τὸ αʹ παιωνικὸν δίρρυθμον· τὸ βʹ καὶ γʹ καὶ δʹ ἐξ ἰαμβικῆς βάσεως καὶ τροχαϊκῆς 〈κατα〉 κλεῖδος· τὸ εʹ καὶ ςʹ τρίρρυθμόν τε καὶ δίρρυθμον· ζʹ ηʹ θʹ ἐν μὲν τῇ βʹ περικοπῇ ἐστι παιωνικὸν τρίρρυθμόν τε καὶ δίρρυθμα δύο, 〈...〉 δὲ ἐν τῇ στροφῇ· τὸ ιʹ ιαʹ ιβʹ ιγʹ τροχαϊκὰ δίμετρα, δύο μὲν ἀκατάληκτα, δύο δὲ καταληκτικά. V

book 1127b ἥδομαι LhAld ἥδομαι Lh: κἀνταῦθα παράβασίς ἐστιν, ἀλλ’ οὐκ ἔχει πάντα τὰ μέρη, μόνην δὲ τὴν ᾠδὴν καὶ στροφήν, τὸ ἐπίρρημα, τὴν ἀντῳδὴν καὶ ἀντιστροφήν, καὶ τὸ ἀντεπίρρημα. ἔστι γοῦν τῆς παρούσης ᾠδῆς καὶ στροφῆς τὰ κῶλα ιγʹ. LhAld

book 1127b alpha τὸ αʹ χοριαμβικὸν ἡμιόλιον· τὸ βʹ τὸ γʹ τὸ δʹ τὸ εʹ ὅμοια δίμετρα καταληκτικὰ ἤτοι ἑφθημιμερῆ ἐξ ἐπιτρίτων· τὸ ςʹ ἀντισπαστικὸν δίμετρον ἀκατάληκτον ἐξ ἀντισπάστου καὶ ἐπιτρίτου, ὃ καλεῖται γλυκώνειον· τὸ ζʹ ὅμοιον δίμετρον ὑπερκατάληκτον· τὸ ηʹ παιωνικὸν δίμετρον ἀκατάληκτον ἐκ παίωνος καὶ κρητικοῦ· τὸ θʹ ὅμοιον τῷ αʹ· τὸ ιʹ καὶ τὸ ιαʹ τροχαϊκὰ δίμετρα ἀκατάληκτα· τὸ ιβʹ καὶ ιγʹ, τὸ τῆς γυναικὸς λουμένης, τροχαϊκὰ ὅμοια δίμετρα καταληκτικὰ ἑφθημιμερῆ εὐριπίδεια. ἐπὶ τῷ τέλει παράγραφος καὶ διπλῆ ἔσω νενευκυῖα.

book 1127b alpha Lh

book 1127b beta 〈τὰ αʹ θʹ χοριαμβικὰ ἡμιόλια· τὰ βʹ γʹ δʹ εʹ ὅμοια ἑφθημιμερῆ ἐξ ἐπιτρίτων· τὸ ςʹ ἀντισπαστικὸν γλυκώνειον· τὸ ζʹ ὅμοιον ὑπερκατάληκτον· τὸ ηʹ παιωνικὸν δίμετρον ἀκατάληκτον· τὰ ιʹ ιαʹ τροχαϊκὰ δίμετρα ἀκατάληκτα· τὰ γὰρ λοιπὰ ἑφθημιμερῆ. τὸ τελευταῖον παραγραφέσθω καὶ τῇ ἔσω διπλῇ σημειούσθω.〉 Ald

book 1127c ᾠδὴ καὶ στροφὴ κώλων ιγʹ. Lh

book 1129 ταῦτα γὰρ εἰς πόλεμον αἴρουσιν. V

book 1131a ἀλλὰ συμπίνω καὶ εὐωχοῦμαι. V

book 1131b τουτέστι μέσον τῆς οἰκίας καθεζόμενος. V

book 1131c διάγων παρὰ τῇ ἑστίᾳ ἅμα τε θερμαινόμενος καὶ τῆς τοῦ θερμοῦ διακονίας πλησίον ὤν. V

book 1134 δανότατα τῷ θέρει: ξηρότατα τῷ θέρει καὶ εὐκαυστότα〈τα〉, ἃ μήτε καπνὸν ποιεῖ καὶ εὐκόλως ὑφάπτεται. V

book 1136

〈κἀνθρακίζων: φρύγων τὸν ἐρέβινθον καὶ ξηρὸν ποιῶν. ταῦτα γὰρ ἐσθιόμενα προτρέπεται εἰς ποτόν.〉 Ald

book 1137 φηγὸς εἶδος φυτοῦ, ὃ τὰς ἀγρίας βαλάνους φασὶ φέρειν. περιεσταλμένως δὲ τὸ αἰδοῖον βούλεται λέγειν, ἐπεὶ καὶ αὐτό τινες βάλανον καλοῦσιν. V

book 1139 — < Lh

book 1140a ἔτι τοῦ χοροῦ. RV

book 1140b alpha οὐ γάρ ἐστιν ἥδιον: τὸ παρὸν ἐπίρρημα στίχων ἐστὶ τροχαϊκῶν τετραμέτρων καταληκτικῶν ις′. ἔχει δὲ καὶ ἐν ἐκθέσει κῶλα ὅμοια γ′. ὧν τὰ μὲν β′ δίμετρα ἀκατάληκτα, τὸ δὲ γ′ καταληκτικὸν εὐριπίδειον. ἐπὶ τῷ τέλει διπλῆ ἔσω νενευκυῖα. Lh

book 1140b beta 〈τῇ αὐτῇ καὶ τὸ ἐπίρρημα. τοῦτο δὲ δῆλον ὡς τροχαϊκῶν ἐστι τετραμέτρων ις′ ἔχον καὶ ἐν ἐκθέσει κῶλα ὅμοια τρία, πλὴν τοῦ τρίτου δίμετρα ἀκατάληκτα.〉 Ald

book 1140c ἐπίρρημα στίχων ιθ′. Lh

book 1143 ἐμποιεῖν ἐμοί] τοῦ θεοῦ ὕοντος ἐμοὶ ἀρέσκει σχολάζειν τῷ ποτῷ. Lh

book 1144a ἄφευε τῶν φασήλων: φρύξον. V

book 1144b τινὲς γράφουσιν “ἄφαυσον” ἀντὶ τοῦ “ζέσον”. VLh

book 1144c γρ. ἄφευε. V

book 1145a ἐμβαλοῦσα καὶ μίξασα καὶ τῶν πυρῶν σὺν αὐτοῖς· δοκοῦσι γὰρ ἐφέλκεσθαι τὸ ποτόν. Lh

book 1145b ἔξελε: πρόελε, ἀνάλεξον τὰ σῦκα. VLh

book 1147a γρ. παντελῆ. V

book 1147b οἰναρίζειν: τὸ ἀποφυλλίζειν· οἴναρα γὰρ τὰ φύλλα τῆς ἀμπέλου. VLh τινὲς δὲ γράφουσιν ἀμπελουργεῖν, οὐκ ὀρθῶς. V

book 1147c οἰναρίζειν: τὰς οἴνας ἐργάζεσθαι, VLh καὶ οἴναρα τὰ τῆς ἀμπέλου φυτά. V

book 1148a τυντλάζειν: πηλοπατεῖν· τύντλος γὰρ ὁ πηλός. ἢ ἀντὶ τοῦ “βωλοκοπεῖν”. VLh

book 1148b Ἀρχιλόχου παρδοκὸν δι’ ἐπιοῖον. καὶ παρὰ Σιμωνίδῃ τῷ ἀμοργίῳ συνπαρδακῆσιν ἱμᾶσιν σεσαγμένοις. V

book 1149 〈σπίνω: σπίνος εἶδος στρουθοῦ.〉 Ald

book 1150a ὁ πυός ὀξυτόνως καὶ ἀρσενικῶς ἐν τῷ ⟦ι⟧ε′ τῆς καθόλου φησίν. V

book 1150b πυός τις Lh: πυὸς τὸ πρῶτον γάλα, ὃ καὶ ἑψόμενον πήγνυται· ὃ καὶ ἡμεῖς χυτρίτην λέγομεν. VLh

book 1154a Αἰσχινάδου Lh: ὡς τοῦ Αἰσχινάδου μᾶλλον τῶν ἄλλων ἔχοντος καρπίμους μυρρίνας. ἢ ἀπὸ τῶν καρπῶν VLh τοῦ Lh Αἰσχινάδου. ἢ ἀπὸ τοῦ σχίνου VLh πεποίηται τοὔνομα Αἰσχινάδης. Lh

book 1154b τῆς μυρρίνης ἡ μὲν στεφανωτίς, ἡ δὲ κάρπιμος, ὥς φησι Θεόφραστος. V

book 1155a Χαρινάδην] ὄνομα τοῦτο αὐλητοῦ. Lh

book 1155b βωσάτω] βοησάτω. Lh

book 1158a τὰ ἀροτριάματα· παρὰ τὸ ἀροτριοῦν. V

book 1158b τὰ προηροτριωμένα. V

book 1158c λέγουσιν ἔνιοι καὶ τὰ ἄλφιτα καὶ τὸν λιβανωτὸν ἀρώματα, ὡς παρ’ Εὐπόλιδι καὶ εὐθὺ τῶν ἀρωμάτων ἀντὶ τοῦ “ἀλφίτων”. ἐκτείνεται δὲ διὰ τὴν συναλοιφήν. V

book 1159a ἡνίκ’ ἂν LhAld ἀχέτας Lh: ἡ ἀντῳδὴ αὕτη καὶ ἀντιστροφὴ κώλων ἐστὶν ὁμοίων τοῖς τῆς στροφῆς ιγ′ καὶ LhAld

Eulogikon public reading copy · View original HTML at eulogikon.org

book 1159a alpha ἰσόμετρα ἔχει ταῦτα κατὰ πάντα· ὧν τελευταῖος τηνικαῦτα τοῦ θέρους. ἐπὶ τῷ τέλει δύο διπλαῖ ἔξω νενευκυῖαι. Lh

book 1159a beta 〈ἰσομέτρων. ἐπὶ τῷ τέλει αἱ δύο διπλαῖ.〉 Ald

book 1159b ἀντῳδὴ καὶ ἀντιστροφὴ κώλων ιγʹ. Lh

book 1159c ὁ τέττιξ. διηχεῖ. παρὰ τὸ ἡσιόδειον ἦμος δὲ σκόλυμός τ' ἀνθεῖ καὶ ἠχέτα τέττιξ. ὁ δὲ Ἀρίσταρχος οὔ φησι τοὺς ᾄδοντας ἄρσενας λέγεσθαι, τὰς δὲ θηλείας οὕτως. V

book 1159d < Lh

book 1162 εἶδος ἀμπέλου VLh λημνία, V ὡς ἱστορεῖ Ἀνδροτίων VLh ἐν τῷ Γεωργικῷ. V

book 1164a φῖτυ: τὸ V σπέρμα, VLh τὸ γένος. V

book 1164b καὶ γάρ εἰσι φυτὰ πρὸ τοῦ καιροῦ τοὺς καρποὺς παρέχοντα, καὶ καλοῦνται πρώϊμα. καὶ Σοφοκλῆς οὔτ' ἄλλο σπέρμα φῖτυ πρῷον λέγω. V

book 1164c ὅ ἐστι V πρώϊμον VLh καὶ ὥριμον. V

book 1164d πρῷιον] οὕτω V δισυλλάβως VLh ἀναγνωστέον. V

book 1165a τὸν ὄλυνθον. λέγει δὲ αὐτὰ ὁ Καλλίστρατος. V

book 1165b κυρίως μὲν ὁ ἤδη σκληρὸς καὶ πάρωρος, ὄψιν μὲν πεπάνσεως ἔχων, ἄωρος δὲ ὤν. καὶ μήποτε φήληξ τίς ἐστιν ὁ ἀπατεὼν καὶ ψευδόμενος τῇ ὄψει εἰς βρῶσιν. οὗτος δὲ ἐπὶ τοῦ ὠμοῦ σύκου κέχρηται εἰπὼν "οἰδαίνοντα". οἰδαίνεται γάρ, ὅτε ἄρχεται πεπαίνεσθαι. V

book 1165c καὶ ἐν Ταγηνισταῖς δὲ τῇ λέξει κέχρηται. V

book 1167 κἀπέχω] τῷ στόματι προσάγω. καὶ Ὅμηρος VLh ὄψου ἄσαιμι προταμὼν καὶ V οἶνον ἐπισχών. VLh

book 1169a 〈ἄνω τῷ ἐπιπότῳ τῆς γλήχωνός φησι χρῆσθαι〉 πρὸς τὴν ὀπώραν, νῦν δὲ τῷ θύμῳ χρῆται. V

book 1169b 1169] κυκεὼν ἐκ θυμοῦ γὰρ δοκεῖ ὁ γλήχων ἰᾶσθαι τοὺς ὑπὸ πωὄλας ὀπώρας. V

book 1169c μετὰ τὸ ὀπώραν φαγεῖν κυκεῶνα πίνουσι, καὶ οὐ βλάπτονται, ἀλλὰ καὶ παχεῖς γίνονται. V

book 1169d κυκεῶνας ⟦ἐσθίω⟧. V

book 1170a ἐπειδὴ ἀργοῦσιν οἱ γεωργοὶ τότε τοῦ ἀμητοῦ, ὡς καὶ Ἡσίοδός φησιν δμῶας ἀναψύξαι φίλα γούνατα. V

book 1170b γίνομαι παχύς] διὰ τὸ ἀργεῖν τότε. Lh

book 1171 〈 〉 Lh

book 1172a alpha μᾶλλον ἢ θεοῖσιν: τὸ ἀντεπίρρημα στίχων ἐστὶν ὁμοίων τοῖς τοῦ ἐπιρρήματος, τροχαϊκῶν τετραμέτρων καταληκτικῶν ιςʹ. ἔχει δὲ καὶ ἐν ἐκθέσει, ὡς κἀκεῖνος, κῶλα ὅμοια γʹ· ὧν τὰ μὲν βʹ δίμετρα ἀκατάληκτα, τὸ δὲ γʹ, τὸ ἐν μάχῃ δ' ἀλώπεκες, καταληκτικὸν εὐριπίδειον. ἐπὶ τῷ τέλει διπλῆ ἔξω νενευκυῖα. Lh

book 1172a beta 〈ὡσαύτως καὶ τὸ ἀντεπίρρημα. ὑφ' ὃ ἡ ἔξω διπλῆ.〉 Ald

book 1172b ἀντεπίρρημα στίχων ιθʹ. Lh

book 1173a φοινικίδ' Lh: περικεφαλαίαν VLhbis φοινικῷ χρώματι βεβαμμένην. οἱ δὲ κόκκινα περιβλήματα. VLh

book 1173b ταῖς φοινικίσι VLh μᾶλλον οἱ V Λακεδαιμόνιοι ἐχρῶντο, ἵνα μὴ αἰσθάνωνται τοῦ αἵματος διὰ τὴν ὁμοιότητα, καὶ ἵνα τρωθέντες μὴ νοηθῶσι τοῖς πολεμίοις. VLh

book 1173c ὀξεῖαν: ἀντὶ τοῦ "εὔχρουν καὶ ἐρυθρὰν πάνυ". V

book 1174

διαφέρουσι γὰρ αἱ λυδικαὶ βαφαί, VLh ὡς καὶ Ὅμηρος ὡς δ’ ὅτε τις ἐλέφαντα γυνὴ φοίνικι μιήνῃ, καὶ Σαπφώ πόδα δὲ ποικίλος μάσθλης ἐκάλυπτε, λύδιον καλὸν ἔργον. V

book 1176a εἰς κιναιδίαν διαβάλλεται, ὥστε μηδὲ τῶν ἀναγκαίων διὰ τὴν εὐρύτητα κρατεῖν δύνασθαι, VLh ὡς καὶ Εὔπολις ἐν Πόλεσιν ἡ δ’ ὑστάτη ποῦ ’σθ’; ἥδε Κύζικος πλέα στατήρων. ἐν τῇδε τοίνυν τῇ πόλει φρουρῶν ποτ’ αὐτὸς ἐκίνουν δὲ γυναῖκα κολύβου καὶ παῖδα καὶ γέροντα, κἀξηνόδην τὴν ἡμέραν τὸν σκύθον ἐκκορίζειν. V

book 1176b τουτέστι κατασχημονεῖ. οἱ γὰρ Κυζικηνοὶ ἐπὶ δειλίᾳ καὶ θηλύτητι ἐκωμῳδοῦντο. V

book 1177a alpha ὡς φοινικᾶ πτερὰ ἔχοντος δηλονότι τοῦ παρ’ Αἰσχύλου πολλάκις κληθέντος ἱππαλεκτρυόνος, ὃν ἀεὶ κωμῳδοῦσι, λεχθέντος ἐν Μυρμιδόσιν. V

book 1177a beta ὥσπερ κτλ.] ὡς φοινικᾶ πτερὰ ἔχοντα καὶ τοῦτον παρείληφεν· ὃν Αἰσχύλος λέγει ἐν Μυρμιδόσιν. Lh

book 1177b ὁ Αἰσχύλος ἀπὸ δ’ αὖτε ξουθὸς ἱππαλεκτρυὼν στάζει κηρόθεν τῶν φαρμάκων πολὺς πόνος. V

book 1177c θέλει εἰπεῖν, ὅτι πρῶτος φεύγει ὡς ἵππος καὶ ὄρνεον. V

book 1178 ἐγὼ δ’ ἕστηκα Lh: ἐγὼ δὲ ἕστηκα ἐν τῷ αὐτῷ τόπῳ παρατηρῶν καὶ περιβλεπόμενος, ὅπου ἂν ταχθῶ. λινόπτας γάρ φησιν Ἀριστοτέλης τοὺς τὰ θηρευτικὰ λίνα φυλάττοντας, ὡς καὶ οἰνόπτας τοὺς οἰνοφύλακας. ἀπείρως δὲ ἀπὸ τῶν εἰς τὰ λίνα πιπτόντων ὀρνίθων. οἱ δὲ περιεργότερον τὸ λίαν κατεπτηχέναι, τοῦτο λινοπτᾶσθαι λέγουσι VLh καὶ ἀξιοῦσιν. V

book 1181 ὅτι τοὺς μὲν ἐξήλειφον, τοὺς δὲ ἐνέγραφον εἰς τὸν κατάλογον τῶν πολεμίων. V

book 1182a ἐνταῦθα τῷ πρώτῳ ἀντὶ τοῦ τρίτου VLh προσώπου V ἐχρήσατο· τὸ γὰρ ὀρθὸν ἦν “οὐ γὰρ ᾔδει ἐξιών”. VLh

book 1182b 〈οὐ γὰρ ᾔδειν: ἀττικῶς ἀντὶ τοῦ “ᾔδει”, ὡς τὸ ὁ δὲ θεὸς ὑμῖν οὐ προσήειν.〉 Ald

book 1183a τὸν Πανδίονος Lh: εἷς ἐστι τῶν ιβʹ ἀνδριάντων ἐν οἷς ἐγράφοντο οἱ στρατιωτικοὶ κατάλογοι καὶ τὰ κηρύγματα. εἶδεν οὖν, φησί, τὸ ἑαυτοῦ ὄνομα γεγραμμένον ἐν τῷ ἀνδριάντι τοῦ Πανδίονος. VLh

book 1183b ἑκάστης φυλῆς ἐπώνυμος ἦν ἀνδριὰς τοῦ τῶν φυλῶν ἐξηγησαμένου, Αἰαντίδος, Θησηΐδος, Ἀκαμαντίδος καὶ τῶν λοιπῶν, ἔνθα ἐτίθεντο τὰ ὀνόματα τῶν ἐπ’ ἐξόδῳ καταλελεγμένων. V

book 1183c τόπος Ἀθήνησιν παρὰ πρυτανεῖον ἐν ᾧ ἑστήκασιν ἀνδριάντες, οὓς ἐπωνύμους καλοῦσιν. ἐπειδὰν οὖν κατάλογον δεήσῃ γενέσθαι στρατείας, προσγράφοντες τὰ ὀνόματα τῶν καταλεγομένων ἐπὶ ἑνὸς προτιθέασι τούτων τῶν ἀνδριάντων ὑπὲρ τοῦ φανερὸν ἐκεῖσε γίνεσθαι τοῖς καταλεγομένοις. τούτων οὖν τῶν ἐπωνύμων καὶ ὁ Πανδίονός ἐστιν ἀνδριάς. φησὶν οὖν· ἐξαιφνῆς ἐπιστάς τις τούτῳ τῷ τόπῳ καὶ θεασάμενος ἑαυτὸν ἐγγεγραμμένον εἰς ἀμηχανίαν καὶ ἀπορίαν περιίσταται κατεπειγούσης τῆς ἐξόδου καὶ αὐτὸς ἀπαράσκευος ὤν. V

book 1184 ἀντὶ τοῦ Vbis “πικρίαν καὶ δριμύτητα VbisLh ὁρῶν.” Valt.Lh

book 1186 ἀντὶ τοῦ εἰπεῖν “ἐχθροί” τὸ 〈“ῥιψάσπιδεσ”〉 παρ’ ὑπόνοιαν ἐπήνεγκεν. V

book 1188 αὕτη ἐστὶν ἡ τρίκωλος καὶ αὐτὴν τροχαϊκή, ἀλλὰ διμέτρων δύο μὲν ἀκαταλήκτων, ἑνὸς δὲ καταληκτικοῦ. V

book 1189 οἴκοι λέοντες Lh: παροιμία παρὰ τοὺς ἐν τῇ Ἀσίᾳ Λάκωνας ἀτυχήσαντας οἴκοι λέοντες, ἐν Ἐφέσῳ δὲ VLh οἱ Lh Λάκωνες. VLh

book 1190 > Lh

book 1191a κορωνίς· V εἰσίασι γὰρ οἱ ὑποκριταί. κἄστι κατ’ ἀρχὴν VΓ μὲν Γ προαναφώνησις, τὸ “ἰοὺ ἰού”. VΓ ἑξῆς δὲ στίχοι ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι. V

book 1191b

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἰοὺ ἰού: κορωνὶς εἰσιόντων τῶν ὑποκριτῶν. οἱ δὲ στίχοι εἰσὶν ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι οη′, LhAld

book 1191b alpha ὧν προτίθεται κῶλον ἰαμβικὸν μονόμετρον ἀκατάληκτον. ὁ δὲ τελευταῖος τούτων αὐτοῦ παρ’ ἐμὲ στὰν πρότερον ἀναβαλοῦ ’νθαδί. Lh

book 1191b beta 〈τὸ μέντοι πρῶτον μονόμετρόν ἐστιν.〉 Ald

book 1191b ἐπὶ ταῖς ἀποθέσεσι παράγραφος, ἐπὶ δὲ τῷ τέλει LhAld πάντων Lh κορωνίς. LhAld

book 1192 ※ Lh

book 1193 ἔχ’ ἀποκάθαιρε τὰς τραπέζας ταυτηί Γ: περικεφαλαίαν δίδωσιν, ἵνα τοῖς λόφοις ἀπομάττῃ τὴν τράπεζαν. VΓ ἔστι δὲ παρεπιγραφή. Γ

book 1194 ὄφελός ἐστ’ αὐτῆς ἔτι Γ: πεπαυμένου γὰρ τοῦ πολέμου οὐκ ἔστιν οὐδεμία χρεία τῶν πολεμικῶν σκευῶν. VΓLh

book 1195a ἐπεισφόρει] πρόσφερε, προστίθει. ΓLh

book 1195b τοὺς ἀμύλους Γ: ἄμυλοι VΓ πλακοῦντές τινες· οἱ δὲ ζωμοὶ πλακουντώδεις. VΓLh

book 1195c ὃν νῦν ἀμύλατόν φασιν. VΓ

book 1195d τὰς κίχλας] εἶδος ὄρνιθος VΓLh ἢ ὀψαρίου. VΓ

book 1196 κολλάβους: εἶδος ἄρτων. εἰσὶ δὲ μικροὶ ἀρτίσκοι ἐκ τῶν μεγάλων κεκολλαβισμένοι, οὓς καθάπαξ ἄρτους οὐκ ἠξίουν καλεῖν. καὶ ἐν Βατράχοις μέμνηται ἄρτους ἔπειτα κολλάβους. σχήματος δέ ἐστιν ὄνομα, ὥσπερ κολλύραν λέγουσί τινες. VΓLh

book 1197 ἀναβράττω] ἕψω. VΓLh

book 1200 οὐδὲ κολλύβου Γ: εἶδος εὐτελοῦς νομίσματος. ἀντὶ τοῦ “οὐδὲ ὀβολοῦ”. VΓLh

book 1201a δραχμῶν] γρ. δραχμαῖς. V

book 1201b ἐμπολῶ] κερδαίνω. VLh

book 1202 τοὺς κάδους ἐς τοὺς ἀγρούς VΓ: πιπράσκει δηλονότι. καδοποιὸς δὲ ἦν ὁ σὺν αὐτῷ. VΓLh

book 1203 τῶν δρεπάνων VΓLh τε Γ λάμβανε V: χαλκεὺς ὢν δρέπανον αὐτῷ δῶρον δίδωσιν εἰρήνῃ πρέπον, καὶ ὁμολογεῖ χάριν ὡς τῆς τέχνης αὐτοῦ VΓLh ἤδη Lh χρηματιζούσης. VΓLh

book 1204 καὶ τῶνδ’ Γ ὅ τι ΓLh βούλει VΓLh προῖκα V: σαφῶς ἄγαν ἐπὶ τοῦ τέλους τοῦ δράματος τὸ κέντρον ἐγκατέλιπε τοῖς ἀκροωμένοις ἐκ τούτων δηλῶν καὶ κρίνων τά τε τοῦ πολέμου ἔργα καὶ τὰ τῆς εἰρήνης αὐτοῖς ἄγων ὑπ’ ὄψιν, ἵνα εἰς ὃ βούλεται μᾶλλον αὐτοὺς ἀγάγῃ. τὴν δὲ καταστολὴν τοῦ δράματος ἐποίησεν ὁμοίαν τοῖς Ἀχαρνεῦσιν, ἐπεὶ κἀκεῖ τῷ μὲν πρυτανεύσαντι τὴν εἰρήνην δῶρα δίδοται παρὰ πάντων ὡς εἰπεῖν τῶν Ἑλλήνων, τῷ δὲ Λαμάχῳ οὐδέν. VΓLh

book 1206 —̇ Lh

book 1209 μεταβολεὺς καὶ παλιγκάπηλος. VΓLh

book 1210a ὁ λοφοποιὸς ἐναντία τοῦ δρεπανουργοῦ φρονῶν ἔρχεται καταβοῶν τοῦ Τρυγαίου ὡς πεποιηκότος εἰρήνην καὶ μηδὲν χρησιμευούσης τῆς τέχνης αὐτοῦ. VΓLh

book 1210b προθέλυμνον Γ: πρόρριζον, ὅ ἐστιν ἄρδην ἀπολώλεκάς με τὴν εἰρήνην προξενήσας. ΓLh

book 1210c προθέλυμνον V: φαίνεται καὶ οὗτος καὶ ἄλλοι πολλοὶ τὸ “προθέλυμνον” VΓLh ἀντὶ τοῦ ΓLh “πρόρριζον” ἀκούειν. VΓLh καὶ παρ’ Ὁμήρῳ πολλὰ δ’ ὅ γε προθέλυμνα. ΓLh Ἀρίσταρχος δὲ τὸ συνεχὲς καὶ ἄλλο ἐπ’ ἄλλῳ δηλοῦσθαί φησι VΓLh φράξαντες δόρυ δουρί, σάκος σάκεϊ προθελύμνῳ. ΓLh καὶ VΓLh Ὅμηρος V σάκος θέτο τετραθέλυμνον, τουτέστι τέσσαρας ἐπαλλήλους ἔχον πτύχας. VΓLh

book 1211a λοφᾶς ΓLh: λόφους πολλοὺς ἔχεις ἐν πράσει. VΓLh

Eulogikon public reading copy · View original HTML at eulogikon.org

book 1211b σημαίνει τὸ πλῆθος ἔχειν λόφων. VΓLh

book 1211c ὄνομα πεποίηκε νοσήματος ἀπὸ τοῦ πράγματος, ὡς λεγομέν τινα ὑδεριᾶν, VΓLh ποδαγρᾶν, V σπληνιᾶν, VΓLh χαλαζᾶν. Γ

book 1215 αἰσχύνομαι] ἐλάχιστον γάρ ἐστιν ὃ μέλλω δοῦναι τίμημα. VΓLh

book 1216a τὸ σφήκωμ' Γ: τόπος τῆς περικεφαλαίας ὅπου τὰ πτερὰ δέδεται. VΓLh

book 1216b τὸ σφήκωμ' Lh: τὸ πλέγμα. V ΓLh

book 1216c καὶ Ὅμηρος πλοχμοί θ' οἳ χρυσῷ τε καὶ ἀργύρῳ ἐσφήκωντο. VΓLh

book 1216d οἷον ὅτι ἐπιμελῶς τοῖς ἱμᾶσιν ἐνδέδεται. VΓLh

book 1219 ἔνεγκε Valt.Γ τοίνυν Γ 〈εἰσιὼν〉 τὰς ἰσχάδας Valt.: ὅτι οὐ μόνον πρὸς γενικήν, VbisΓLh "τῶν ἰσχάδων", Vpr.ΓLhbis ἀλλὰ καὶ πρὸς αἰτιατικὴν λέγουσιν. VbisΓLh

book 1222a τριχορρυεῖτον ΓLh: ὑπὸ τοῦ χρόνου γὰρ ἐσάπησαν. καὶ αἱ τρίχες τῶν ἵππων αἱ ἐν τοῖς λόφοις ῥέουσιν. VΓLh

book 1222b οἷον Γpr.Lhpr. οὐκ ἐπιμελῶς συνδεδεμένοι εἰσίν. ΓbisLhbis

book 1224a ἄλλος ἐστὶν οὗτος ὀλοφυρόμενος, ὅτι μὴ δύναται αὐτὸν τῆς ἀξίας ἀποδόσθαι τιμῆς. VΓLh

book 1224b θώρακος κύτει ΓLh: περιφραστικῶς εἶπεν ἀντὶ τοῦ "θώρακα". τινὲς VΓLh δὲ Lh τὸ κοῖλον τῶν θωράκων. VΓLh

book 1225a ἐνημμένῳ: συντεθειμένῳ, ἐρραμμένῳ. VΓLh

book 1225b εἰσὶ γάρ τινες τῶν θωράκων ἁλυσιδωτοί. τινὲς δέ φασιν ὅτι ἀνειμένοι οἱ ὀρθοὶ καὶ τεταμένοι, οὓς εἰς θυσίαν ὑπέδυνον. VΓLh

book 1227a ἀλλ' αἶρέ μοι ΓLh τοῦτόν γε Γ: ὅτι ἐνταῦθα ἐπὶ τοῦ VΓLh "πρόσφερε" VΓbisLh καὶ ἐπὶ 〈τοῦ〉 VΓLh "δίδου". VΓbisLh

book 1227b ἴσως διὰ τὸ εἰπεῖν "τῆς ἰσωνίας" τοὺς Ἴωνας σκώπτει ὡς ἁβροδιαιτωμένους καὶ πολλὰ ἀποπατοῦντας, ὡς δηλοῖ τὸ ἑξῆς. VΓLh

book 1227c τῆς ἰσωνίας Γ: τῆς ἴσης VΓLh σου V τιμῆς καὶ ὅσου σοι καθέστηκεν ἢ VΓLh ὅσης Lh ἐπώλησας ἄλλῳ. VΓLh

book 1228a ἐναποπατεῖν γάρ ἐστ' ἐπιτήδειος πάνυ Γ: δῆλον ὅτι οὐκ ἔστιν ἁλυσιδωτός, VbisΓLh ὁ θώραξ Vpr. ἀλλ' ὁ λεγόμενος στατός. εἰκάζει γὰρ αὐτὸν λασάνῳ ὀρθῶς σταθέντι. VbisΓLh

book 1228b ἐπεὶ τὰ ἄνω παραπλήσια τοῖς χείλεσιν ἔχει τοῦ λασάνου. V

book 1229 χρήμασιν] πράγμασιν. VΓ

book 1230a τρεῖς λίθους Γ: καὶ γὰρ παροιμία τρεῖς εἰσιν ἱκανοὶ πρωκτὸν ἐκμάξαι λίθοι. τινὲς δὲ προστιθέασι καὶ τοῦτο, ὥς φασι, τὸ Σωκράτους ἂν ὦσι τραχεῖς, ἂν δὲ λεῖοι, τέτταρες. VΓ

book 1230b ἔνιοί φασι τοῦτο λελέχθαι, ἐπεὶ οἱ χέζοντες τρεῖς λίθους παρατιθέασι, καὶ ὥσπερ λάσανον ὑπ' αὐτῶν ποιοῦσιν. ἀναγκαιοτέρα δὲ ἡ πρώτη ἐστὶν ἐξήγησις. VΓ

book 1230c οὐ δεξίως] ἐρωτηματικῶς. Γ

book 1231 ποίᾳ δ' ἀποψήσει Γ: διὰ ποίου μέρους τὸν πρωκτὸν ἀπομάξασθαι δυνήσῃ; VΓ

book 1232 διὰ τῆς θαλαμιᾶς Γ: διὰ τῆς ἐκβολῆς τῆς χειρὸς τῆς ἐν τῇ θώρακι τὴν αὐτοῦ χεῖρα καθῆκεν. "θαλαμιᾶς" δὲ εἴρηται παρὰ τὸ ἐοικέναι νεὼς τρυπήματι· κυρίως γὰρ ἡ κάτω τῆς νεὼς τρώγλη θαλαμιὰ λέγεται. VΓ

book 1234a ἵνα μή γ' ἁλῶ Γ: τοῦτό φησιν εἰς τοὺς τριηράρχας, ὅτι ἀπέφραττόν τινα τρυπήματα, ἵνα τῶν ναυτῶν τὸν μισθὸν κερδαίνοιεν, ἐκ δὲ τῆς ὄψεως τῶν τρυπημάτων μὴ ἐλέγχωνται. γελοίως οὖν ἀμφοτέραις ταῖς χερσί φησιν ἀποψῆσαι τὸν πρωκτόν, ἵνα μὴ ὡς οἱ τριηράρχαι κρύπτων

τρῆμα τῆς νεὼς ἁλῷ. ἠναγκάζοντο γὰρ οἱ ναύκληροι τοσούτους ναύτας μισθοῦσθαι ὅσα εἶχε τρυπήματα ἡ τριήρης. VΓ

book 1234b ἐπεὶ οἱ τριηράρχοι λαμβάνοντες τὸν μισθὸν τοῦ πληρώματος ἀπέφρασσον τὰ τρυπήματα τῶν ἐρετμῶν, ἵνα μὴ ἐλέγχωνται κλέπτοντες ἐρέτας ἐκ τοῦ θαλαμιὰς εἶναι κενάς. ἑξῆς δὲ τοῦτο ἀστείως ἐπήγαγεν διὰ τὸ προειρημένον ὑπ’ αὐτοῦ τηδὶ διεὶς τὴν χεῖρα διὰ τῆς θαλαμιᾶς. VΓ

book 1235 1235] καὶ ὑπομενεῖς, φησί, τοσοῦτον ἀργύριον διδοὺς λασάνῳ ἀγγείῳ αὐτῷ χρήσασθαι; Γ

book 1239a θλίβει τὸν ὄρρον Γ: μιμεῖται τοὺς ἐπ’ ἀληθείᾳ ἐνδυομένους τοὺς θώρακας καὶ διὰ τὸ μὴ ὠνεῖσθαι θλίβειν λέγοντας τὸν τράχηλον ἢ τοὺς ὤμους. τοιαῦτα δέ φασι βουλόμενοι διακόψαι τὸ τίμημα. VΓ

book 1239b ὄρρος ἐστὶν ὁ ὑποκείμενος τοῖς σφαιρώμασι τόπος. δῆλον δὲ ὅτι λαβὼν τὸν θώρακα ἐπεκάθισεν αὐτῷ ὡς λασάνῳ, ἵνα μᾶλλον κινήσῃ γέλωτα. VΓ

book 1242a μόλυβδον ἐς τουτί: ἀντὶ τοῦ Γ “μολύβδῳ τὸν κώδωνα τῆς σάλπιγγος πληρώσας”. VΓ

book 1242b τὸν κώδωνα τῆς σάλπιγγος συμβουλεύει αὐτῷ πωμάσαι μολύβδῳ καὶ ἐν μέσῳ ἐνεῖραι ῥάβδον, VbisΓbis ἵνα γένηται κατακτὸς ὁ κότταβος. ξύλον γὰρ αἰωρήσαντες ἐκ τοῦ μέσου καθάπερ πλάστιγγα ἐξ ἑκατέρων τῶν μερῶν ἐξῆπτον ἐλλύχνια καὶ κυμβεῖα κοῖλα, καί τι ἀγγεῖον ἐτίθεσαν ὕδατος πλῆρες. εἶτα καθάπερ ἐπὶ τρυτάνης τὸ ἕτερον βαρύνοντες μέρος 〈προΐζειν ἐποίουν, ὥστε πληροῦσθαι τὰ ἐλλύχνια. εἶτα τὸ ἕτερον πάλιν βαρύνοντες μέροσ〉 ἀνάγκην ἐποίουν, ἀνεγειρομένῳ καὶ ἀναπηδῶντι τῷ πεπληρωμένῳ ἐκ τῶν ἐλλυχνίων ἀναπέμπειν τὸ ὕδωρ. ὑπέκειτο δὲ τὰ κυμβεῖα τοῖς ἐλλυχνίοις, ὥστε εἰς ταῦτα πάλιν ἐμπίπτειν τὸ ὕδωρ. καὶ ὁ τῶν πλειόνων ἐπιψαύσας κυμβείων ἐδόκει νικᾶν. κατακτοὶ δὲ ἐκλήθησαν ἀπὸ τοῦ κατάγειν καὶ αὖ πάλιν ἀνάγειν τὸν κότταβον. περὶ μὲν οὖν τῆς ῥάβδου VΓ καὶ Ἕρμιππος εἶπεν ἐν Στρατιώταις ῥάβδον VbisΓ δὲ Valt. ὄψει τὴν κετταβικὴν ἐν τοῖς ἀχύροισι κυλινδομένην. VbisΓ μέμνηται δὲ καὶ Φερεκράτης ἐν Παννυχίδι τῶν κυμβείων καὶ τοῦ κατακτοῦ κοττά-

book 1242b βου. περὶ δὲ τῆς πάντων τούτων κατασκευῆς καὶ χρήσεως ἐξῆκται καὶ ἐν ταῖς ἐκλογαῖς. VΓ

book 1243a ἄνωθεν: τῇ χειρί. VΓ

book 1243b ἀπὸ τοῦ αὐλοῦ τοῦ μέσου, ὥστε ἀποκοτταβίζειν εἰς αὐτήν. VΓ

book 1244a τῶν Γ κατακτῶν κοττάβων: διττὸς ὁ τρόπος τῶν κοττάβων, ὧν ὁ μὲν ἕτερος τοιοῦτος· ἵστασαν ξύλον τι λυχνίῳ παραπλήσιον ἐν μέσῳ VΓ τοῦ συμποσίου, V καὶ ἀπ’ ἐκείνου ἤρτητο ἀγγεῖον ὅμοιον ὀξυβάφῳ, εἰς ὃ τὸ καταλειπόμενον ἐν τῷ ποτηρίῳ ἠκόντιζον· καὶ ὁ ἐπιτυχὼν ἐνίκα. ὁ δὲ ἕτερος τοιοῦτος· κατὰ τοῦ συμποσίου ἐτίθεσαν ἀγγεῖον ὅμοιον λεκάνῃ ὕδατος πλῆρες, καὶ ἐν τῷ ἀγγείῳ τούτῳ ὅμοιόν τι ποτήριον περιεπήγνυσαν, καὶ κύκλῳ τῆς λεκάνης μυρσίνας· καὶ ἔβαλλον εἰς τὸ ποτήριον ἐκεῖνο τὸ ἀπολειπόμενον· καὶ ὁ καταδύσας τὸ ποτήριον ἐνίκα. VΓ

book 1244b τῶν κοττάβων δύο ἦσαν εἴδη, ἓν μὲν τοῦ κατακτοῦ λεγομένου. ἦν δὲ οἷον λυχνίον ὑψηλὸν ἔχον ἐν αὐτῷ πρόσωπον, ὁ μάνην ἐκάλουν, ἐφ’ οὗ ἔδει πεσεῖν καταβαλλομένην τὴν πλάστιγγα. ἕτερον δὲ ἀγγεῖόν τι ἐοικὸς λουτῆρι πλῆρες ὕδατος, ἐν ᾧ ὀξυβάφων ἦν ἐπιπλεόντων πλῆθος, ἅπερ καταδύειν ταῖς λάταξιν ἐπειρῶντο. VΓ

book 1244c κότταβος: Ἀθήναιος ἐν τῷ ιε′ φησὶν ὅτι σικελική τις ἐστὶ παιδιὰ πρώτων εὑρόντων Σικελῶν, ὥς φησι Κριτίας VΓ ὁ Καλλαίσχρου V ἐν τοῖς ἐλεγείοις κότταβος ἐκ σικελῆς ἐστι χθονός, ἐκπρεπὲς ἔργον. Δικαίαρχος δὲ ὁ Μεσσήνιος, Ἀριστοτέλους μαθητής, ἐν τῷ περὶ Ἀλκαίου καὶ τὴν λάταγα αὐτὴν εἶναί φησι σικελικὸν ὄνομα. λατάγη δέ ἐστι τὸ ὑπολειπόμενον ἐκ τοῦ ἐκποθέντος ποτηρίου ὑγρόν, ὃ συνεστραμμένῃ τῇ χειρὶ ἄνωθεν ἔρριπτον οἱ παίζοντες εἰς τὸ κοττάβιον. κότταβος δὲ ἐκαλεῖτο καὶ τὸ τιθέμενον ἆθλον τοῖς νικῶσιν ἐν τῷ πότῳ καὶ τὸ ἄγγος εἰς ὃ ἐνέβαλλον τὰς λάταγας, ὡς Κρατῖνος ἐν Νεμέσει δείκνυσιν.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

book 1244c ὅτι δὲ καὶ χαλκοῦν ἦν, Εὔπολις Βάπταις λέγει· χαλκῷ περὶ κοττάβῳ. Πλάτων δὲ ἐν Διὶ κακουμένῳ παιδιᾶς εἶδος παροίνιον τὸν κότταβον εἶναι ἀποδίδωσιν, ἐν ᾗ ἐξίσταντο καὶ τῶν σκευαρίων οἱ διακυβεύοντες. ἐκάλουν δὲ ἀγκύλην τὴν τοῦ κοττάβου πρόεσιν διὰ τὸ ἐπαγκυλοῦν τὴν δεξιὰν χεῖρα ἐν τοῖς ἀποκοτταβισμοῖς. καὶ ἀγκυλητοὺς ἔλεγον κοττάβους. ὅτι δὲ ἆθλον προέκειτο τῷ προεμένῳ, προείπομεν. ἐλέγοντο δέ τινες καὶ κατακτοὶ κότταβοι. ἦν δὲ λύχνιον ἀγόμενον πάλιν τε

book 1244c συμπῖπτον ὑψηλόν, ἔχον τὸν μάνην καλούμενον, ἐφ’ ᾧ τὴν καταβαλλομένην ἐπιπεσεῖν πλάστιγγα, ἐντεῦθεν δὲ ἐμπίπτειν εἰς λεκάνην ὑποκειμένην πληγεῖσαν τῷ κοττάβῳ. καί τις ἦν ἀκριβὴς εὐχέρεια τῆς βολῆς. τοῦ δὲ μάνου πολλοὶ μέμνηνται. ἦν δὲ ἕτερον εἶδος παιδιᾶς τῆς ἐν λεκάνῃ. αὕτη δὲ ὕδατος πληροῦται. ἐπέκειτο δὲ ἐπ’ αὐτῇ ὀξύβαφα κενά, ἐφ’ ἃ βάλλοντες τὰς λάταγας ἐκ καρχησίων ἐπειρῶντο καταδύειν. ἀνῃρεῖτο δὲ τὰ κοττάβια ὁ πλείω καταδύσας. ὅτι δὲ τῶν ἐρωμένων ἐμέμνηντο ἀφιέντες ἐπ’ αὐτοῖς τοὺς λεγομένους κοττάβους,

book 1244c δῆλον ποιεῖ Ἀχαιὸς VΓ ἐν Λίνῳ V καὶ Καλλίμαχος· πολλοὶ δὲ φιλέοντες ἀκόντιον ἧκον ἔραζε οἰνοπόται σικελὰς ἐκ κυλίκων λάταγας. σικελὰς δὲ αὐτὰς οὐκ ἀπεικότως ὠνόμασεν, ἐπεί, ὡς προείπομεν, Σικελῶν τὸ εὕρημα, καὶ ἐσπούδασται σφόδρα παρ’ αὐτοῖς ὁ κότταβος. VΓ

book 1244d νῦν αὐτὸ τὸ ἀγγεῖον κότταβον εἴρηκεν. VbisΓbis

book 1244e κατακτῶν Vpr.Γpr.: ἀπὸ τοῦ κατάγειν. VbisΓbis

book 1247a σπαρτίοις ἠρτημένην: τὸ μεσαίτατον, φησίν, ἔκδησον σπάρτῳ, ἵνα τρυτάνη γένηται ἐκ τοῦ αὐλοῦ τῆς σάλπιγγος. Γ

book 1247b οὕτω γὰρ ἡ χαλκῆ λάταξ ἐν μέσῳ ἐτίθετο, ἠρτημένη, ὥς φασιν, ἀπὸ τῆς ὀροφῆς. VΓ

book 1250 ἀντὶ τοῦ “ὦ μιαρὲ καὶ ἀκάθαρτε”. VΓ

book 1251a ὅτ’ ἀντέδωκα Γ: τότε με ἀπώλεσας, ὅτε καὶ ἀντὶ τούτων μνᾶν ἔδωκα. VΓ

book 1251b ἀντὶ τῶνδε] οὗτος κράνη κομίζει δύο. VΓ

book 1254alpha συρμαίαν μετρεῖν: οἱ μὲν ἀξιοῦσι χυλὸν βοτάνης εἶναι τὴν συρμαίαν, ᾗ χρῶνται Αἰγύπτιοι πρὸς διάρροιαν. VΓ τινὲς δὲ τὸν λεγόμενον ζύθον. V ὡς δέ φησι Δίδυμος, ἅλμαία ἐκ ῥαφανίδων αἰγυπτιακὴ πρὸς κάθαρσιν ἐπιτήδειος. VΓ

book 1254beta φαίνονται τοῦ χυλοῦ τῆς συρμαίας πίνειν οἱ Αἰγύπτιοι πρὸς διάρροιαν. VΓ

book 1257 ἐν ἐστὶν] γρ. ἔτ’ ἐστί. V

book 1258 λαβὰς ποεῖν Γ: ὠτάρια τοῖς κράνεσιν, ἵνα γένωνται κάδοι. δείκνυσι δὲ τὰ ὦτα αὐτοῦ, καὶ ἔστι παρεπιγραφή. VΓ

book 1261 τούτῳ γ’ ἐγὼ τὰ δόρατα: ἀττικῶς εἶπε “τούτῳ ὠνήσομαι” ἀντὶ τοῦ “παρὰ τούτου ὠνήσομαι”. Γ

book 1266 τὰ τῶν κεκλημένων εἰς δεῖπνον. VΓ

book 1267a ἅττ’ ᾄσεται Γ: τὸ ἑξῆς· δοκεῖ δέ μοι ἵνα δεῦρο προοιμιάσηται, τίνα μέλλῃ ᾆσαι. VΓ

book 1267b προαναβάληταί] προμελετήσει. VΓbis

book 1267c δοκεῖ] λείπει τὸ “ὡς”. Γ

book 1270a νῦν αὖθ’ ὁπλοτέρων ἀνδρῶν Γ: οὐδὲν ἀστειότερον τῆς εὑρέσεως. δύο γὰρ δῆθεν ἵστησι παιδία ᾄδοντα, ἵνα ἀφορμὴν σχῇ τοῖς πατράσιν αὐτῶν ὀνειδίσαι, καὶ διαβαλεῖν τὸν μὲν ὡς φιλοπόλεμον ὄντα, τὸν δὲ ὡς ῥίψασπιν. πρῶτον οὖν πεποίηκε τὸ τοῦ φιλοπολέμου ᾆδον παιδίον· καὶ θέασαι, ὡς πρόσφορα αὐτῷ περιέθηκε πράγματα. VΓ

book 1270b νῦν ... ἀρχώμεθα] ἀρχὴ τῶν Ἐπιγόνων Ἀντιμάχου. VΓ

book 1271 ὁπλοτέρους] παρὰ τὸ ὅπλον παίζει. VΓ

book 1272 εἰρήνης] γρ. 〈...〉. V

book 1278 ὀμφαλοέσσας] ἀσπίδας δηλονότι. VΓ

book 1283 ἔκλυον ἱδρώοντας Γ: ἀπέλυον, ἐξέλυον. VΓ

book 1284 εἶτα ἐν εἰσθέσει στίχοι ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι β′. VΓ

book 1286a εἶτ’ ἐν ἐκθέσει ἐπικοὶ β′. V

book 1286b θωρήσσοντ’ ἄρ’ ἔπειτα: ἀντὶ τοῦ “ἔπινον”· παρὰ τὸ εἰς τὸν θώρακα πέμπειν τὸν οἶνον. Γ

book 1286c ἄσμενοι οἶμαι: πρὸς τὸ “πεπαυμένοι”, οὐ πρὸς τὸ “θωρήσσοντο”. εἰ μὴ ὅτι ὁμωνύμως θωρήσσεσθαι ἔλεγον καὶ τὸ πίνειν παρὰ τὸν θώρακα, ὅτι ἐν αὐτῷ τὸ ὑγρὸν λέγεται εἶναι. VΓ

book 1288a 1288] εἶτ’ ἐν εἰσθέσει στίχοι ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι γ′. V

book 1288b αὐταῖς μάχαις] λείπει ἡ σύν ἀττικῶς. Γ

book 1290 υἱὸς Λαμάχου Γ: τοῦ ἀεὶ βουλομένου μάχεσθαι. ἔπαιξε δὲ παρὰ τὸ τέλος τοῦ Λάμαχος ὀνόματος. VΓ

book 1291a εἶτα ποὺς σπονδεῖος καὶ ἐν εἰσθέσει ἐπικοὶ β′. V

book 1291b αἰβοῖ] γελῶν λέγει. Γ

book 1294 καὶ στίχοι ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι δ′. V

book 1295 τοῦ Κλεωνύμου ’στὶ παιδίον Γ: ὅτι δειλὸς καὶ ῥίψασπις ὁ Κλεώνυμος, πολλάκις εἰρήκαμεν. VΓ

book 1297a οὐ πράγματ’ ᾄσεις: οὐδὲν τῆς εἰρωνείας ἥδιον· καὶ γὰρ ὡς κιναιδιζόμενον τὸν Κλεώνυμον κωμῳδεῖν βούλεται. Γ

book 1297b ἐπεὶ μισοπόλεμος ὁ Κλεώνυμος. VΓ

book 1298a ἀσπίδι μὲν Σαΐων: καὶ ἐλεγεῖον Ἀρχιλόχου καὶ στίχοι ἐπικοὶ β′. Γ

book 1298b Ἀρχιλόχου ἐστὶ τὸ δίστιχον. οὕτως VΓ δὲ Γ ἐγράφη ἐπὶ τῇ ἀπορρίψει τῆς ἀσπίδος. ἐπιτηδείως δὲ καὶ ἐνταῦθα πρὸς ῥίψασπιν εἴρηται. VΓ

book 1298c Ἀρχίλοχος ποιητὴς ἦν καὶ πάντας διέβαλλεν. ὅθεν καὶ Πίνδαρος Πυθικῶν 〈β′〉 εἶδον κάκὰ γὰρ ἑκὰς ὄντα πολλὴ ψογερὸν Ἀρχίλοχον βαρυλόγοις ἔχθεσι πιαινόμενον. Γ

book 1298d οὗτος ὁ Ἀρχίλοχος ἐξῆλθεν εἰς πόλεμον ἐν τῇ πρὸς Σαΐους μάχῃ—ἔστι δὲ ἔθνος Θρᾴκης—καὶ φοβηθεὶς ἔφυγε ῥίψας ἑαυτοῦ τὰ ὅπλα. αὐτὸν οὖν διαβάλλων λέγει. Γ

book 1299 ἔντος] ὅπλον. Γ

book 1300a πόσθων Γ: ὑποκοριζόμενοι οὕτως ἔλεγον τὰ παιδία. ἢ οὕτω λέγεται τοῦ βρέφους τὸ αἰδοῖον. VΓ

book 1300b ὦ αἰσχρέ. Γ

book 1300c εἰς τὸν σαυτοῦ πατέρ’ ᾄδεις: εἰς τὸν Κλεώνυμον, ὅτι ῥίψασπις. Γ

book 1301 καὶ τοῦτο Ἀρχιλόχου ἐστὶν ἑξῆς ψυχὴν δ’ ἐξεσάωσα. τί μοι μέλει ἀσπὶς ἐκείνη; ἐρρέτω. V

book 1304 ὅτι καὶ σὺ ῥίψασπις εἶ. V

book 1305 καὶ στίχοι ἰαμβικοὶ τετράμετροι καταληκτικοὶ β′. V

book 1306a φλᾶν: νῦν κατακαίειν· δῆλον δέ, ὅτι τὰ πολεμικά. ἢ συντρίβειν καὶ γεωργεῖν. ἢ τρώγειν. V

book 1306b καὶ μὴ κενὰς παρέλκειν: ἀπὸ μεταφορᾶς τῶν ἐρεττόντων μὴ βαπτόντων τὰς κώπας, ἀλλὰ τῷ δοκεῖν κενὰς παραφερόντων. V

book 1306c παρακελεύεται τοῖς ἐπὶ δεῖπνον ἥκουσι γενναίως ἐσθίειν. Vbis

book 1307 ἴαμβος δίμετρος ἀκατάληκτος. V

book 1309 καὶ σμώχετ’: ἐσθίετε, τρίβετε· τὸ γὰρ ἐκλαμπρύνειν σμώχειν λέγουσιν. V

book 1310a

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ὅτι παροιμία ἐστίν. καὶ οὕτως· οὐδὲν ἔργον ἐστὶν ἀνδρῶν λευκῶν, ἢν μή τι καὶ μάχωνται. ἔτι δὲ οὕτως· οὐδὲν λευκῶν ἀνδρῶν ἔργον εἰ μὴ σκυτοτομεῖν. V

book 1310b γρ. ἢν μή τι. V

book 1313 ἐσθίετε καὶ ἐμφορήθητε. V

book 1314a λείπει ἡ ὡς. V

book 1314b πλανωμένοις: ἐν τῷ ἀγρῷ δηλονότι. V

book 1316 κορωνίς· εἰσίασι γὰρ οἱ ὑποκριταί. καί εἰσιν οἱ πρῶτοι ἐν ἐπεκθέσει στίχοι ἀναπαιστικοὶ δʹ. V

book 1319 στρατηγὸς φιλοπόλεμος. εἴρηται δὲ παρ' ὑπόνοιαν. V

book 1320a διπλῆ καὶ ἐν ἐπεισθέσει περίοδος ἀναπαιστικὴ ἑπτακαιδεκάμετρος θʹ κώλων, ὅτι ἔχει μονόμετρον τὸ εʹ. V

book 1320b κ'ἀπευξάμενος] γρ. κἄπειτ' εὐξάμενος. V

book 1324 τοῦτο ἔστι τὸ μονόμετρον τὸ εʹ. VC

book 1325 παρὰ τὰ Ἡσιόδου αἱ δὲ γυναῖκες τίκτουσιν. τοῦτο γὰρ εὐετηρίας σημεῖον, τὸ τίκτειν γυναῖκας· τῶν γὰρ ἀνδρῶν ἐν εἰρήνῃ ὄντων αἱ γυναῖκες συλλαμβάνονται. V

book 1329 διπλῆ καὶ ἑπτὰς μονοστροφικὴ περιόδων πεντακώλων ἰωνικῶν διμέτρων, δύο καταληκτικῶν, τριῶν δὲ βραχυκαταλήκτων. V

book 1333 εἶτα ἐν ἐπεισθέσει τοῦ χοροῦ τὸ ἴσον. V

book 1335 ἐν τούτοις φέρονται κατά τινας παράγραφοι, ἵνα ὁ χορὸς ἀνὰ μέρος αὐτὰ λέγῃ. V

book 1336-1339 ἔν τισιν οὐ φέρεται διὰ τὰ μέτρα. V

book 1340a καὶ πάλιν τὰ εʹ τοῦ αὐτοῦ μέτρου τοῦ χοροῦ. V

book 1340b ἀντὶ ζεύγους αἶρουσιν αὐτὴν οἱ χορευταὶ ἀναλαβόντες. VC

book 1344 ἐντεῦθεν ἐν τοῖς ἀντιγράφοις οὐ φέρεται οὐ πεντάκωλα ἀκολούθως. ὡς φέρεται, καὶ ἐνταῦθά ἐστιν. V

book 1345 τὰ τοῦ πολέμου δηλονότι. V

book 1346 συκολογοῦντες] γεωργοῦντες. V

book 1348 τὸ αἰδοῖον λέγει τοῦ νυμφίου, τουτέστι τοῦ Τρυγαίου. V

book 1349 τὸ τῆς Ὀπώρας αἰδοῖον λέγει· ἅμα δὲ καὶ πρὸς τὸ ὄνομα τῆς Ὀπώρας τὸ "σῦκον" λέγει. V

book 1353 (?). ὑμὴν ὑμέναι' ὦ: οὕτως Ἡλιόδωρος. V

book 1355 κἂν ... μοι] πρὸς τοὺς θεατάς. V

book 1356 ὑφ' ἃ κορωνὶς τοῦ δράματος. V

book 1357 Ald

book 1 κεκώλισται πρὸς τὰ Ἡλιοδώρου, παραγέγραπται ἐκ Φαείνου καὶ Συμμάχου. V